ἀπεσκόπουν· ἄλλοι πρὸς τοὺς σεβασμίους οἴκους ἠλαύνοντο,
were-watching others to the venerable houses were-driven
ἄλλοι τὰς πύλας τῆς πόλεως καταλαβεῖν ἔσπευδον. ἕτεροι
others the gates of-the city to-seize hastened others
δὲ πρὸς τὸ τεῖχος ἀνιέναι ἐβούλοντο μέν, οὐ δεδύνηντο δὲ
and to the wall to-go-up wished indeed not had-been-able and
ὑποκλαζούσης αὐτοῖς τῆς φυσικῆς ἰσχύος τῇ προσδοκίᾳ
giving-way to-them the natural strength at-the expectation
τῶν φοβερῶν· οὐκ εἶχον γὰρ ὅπως διάθωνται πρὸς τὸ
of-the fearful(-things) not they-had for how they-might-dispose toward the
κακόν, ἀλλ᾽ ὅπου περ ἂν ἔτυχον γεγονότες τῆς πόλεως,
evil but where ever — they-happened having-been of-the city
κατὰ πρόσωπον εὕρισκον ἀπαντῶντα τὸν θάνατον, ὡς
to face they-found meeting(-them) the death so-that
μηδὲν αὐτοῖς εἶναι λοιπὸν ἀσφαλὲς πρὸς ἐπίνοιαν.
nothing for-them to-be henceforth safe for device
540 Ἀλλὰ πῶς ἄν σοι τοῦ λοιποῦ τὴν καθ᾽ ἡμᾶς συμφοράν,
but how — to-you for-the future the concerning us misfortune
ὦ ἀνδρῶν λογιώτατε, ἢ τὴν ἐπαλληλίαν τῶν τοσούτων
O of-men most-learned or the succession of-the so-many
ἀνιαρῶν διαγράψομαι; ποῖον τούτων πρῶτον εἰπὼν τοῖς
griefs will-I-describe what-sort of-these first having-said to-the
ἄλλοις δευτερεύειν παραχωρήσω; ἐπὶ τίνι τὴν γλῶτταν
others to-be-second will-I-concede on what the tongue
κινήσω ἢ τὴν χεῖρα πρὸς γραφὴν ἐξενέγκω; ἐξιστᾷ γάρ
will-I-move or the hand for writing bring-forth unsettles for
μου τὸν νοῦν ἡ μνήμη τῶν γεγονότων, καὶ οἷον
my the mind the memory of-the(-things) having-happened and as-it-were

ὁρᾶν πάλιν δοκῶν τῶν λεχθησομένων τὰ πράγματα
to-see again seeming of-the(-things) going-to-be-said the facts
δυσεπιχείρητον τὴν περὶ τούτων ἐξήγησιν ἐπαισθάνομαι. ἡ
hard-to-undertake the about these narration I-perceive the
γὰρ ἀνατύπωσις τῶν γεγονότων ὡσανεὶ πραττομένων
for representation of-the(-things) having-happened as-if being-done
τῇ ψυχῇ διὰ τῆς μνήμης τὸν κίνδυνον εἰκονίζουσα καὶ
to-the soul through the memory the danger picturing and
διαμορφοῦσα τῇ φαντασίᾳ τὰ πράγματα, τὴν ὁρμὴν τοῦ
shaping by-the imagination the facts the impulse of-the
λέγειν ἐπέχειν βιάζεται. οἷα γὰρ ἦν τὰ τελούμενα
to-speak to-check forces such for were the(-things) accomplished
τότε! οἱ μὲν πρὸ τῆς σωματικῆς τὴν τῆς ψυχῆς πλέον
then the(-ones) indeed before the bodily the of-the soul more
δεδιότες πανωλεθρίαν πρὸς τὸ θανεῖν ἐδυσφόρουν, ἀρχὴν
fearing utter-ruin at the to-die were-vexed beginning
τῶν ἐκεῖθεν κολάσεων τὸν χωρισμὸν ἡγούμενοι τὸν τοῦ
of-the thence punishments the separation considering the(-one) of-the
σώματος· οἱ δὲ τῇ γῇ προσερείδοντες τὰ γόνατα,
body the(-ones) and on-the earth pressing the knees
κρουνούς τε δακρύων ἐκβλύζοντες, ἀξίους παραδεχθῆναι τῆς
streams both of-tears gushing-forth worthy to-be-received of-the
κλήσεως διὰ τοῦ τοιούτου θανάτου τὸν θεὸν ἐλιτάνευον.
calling through the such death — God they-implored
ἄλλοι τῇ μνήμῃ τῶν ἡμαρτημένων τομώτερον τοῦ
others by-the memory of-the sins sharper than-the
ξίφους τὸ συνειδὸς νυττόμενοι τὸν ἀναλωθέντα χρόνον ἐπὶ
sword the conscience being-pricked the spent time in
ματαίῳ ἀνεκαλοῦντο μεταμελούμενοι. ἕτεροι μηδὲν τοιοῦτον
vain recalled repenting others nothing such
ἐνεργῆσαι δυνάμενοι, ἀλλὰ τὸν λογισμὸν προδόντες τῇ
to-do being-able but the reasoning having-betrayed to-the

ἀγωνίᾳ, ἵσταντο τρομώδεις, δίκην ἀψύχων δένδρων τὴν
struggle stood trembling like lifeless trees the
τομὴν ἀναμένοντες. ἄλλοι δὲ καθάπερ οἴστρῳ τῷ φόβῳ
cutting awaiting others and as-if by-gadfly by-the fear
πληττόμενοι ἀκάθεκτοι ταῖς ὁρμαῖς ἦσαν· ἐξ ὧν καὶ
being-struck unrestrained in-the impulses were from whom also
πλεῖστοι πρὸς τὸ ἐκτὸς τοῦ τείχους ἀσυλλογίστως ἑαυτοὺς
very-many to the outside of-the wall recklessly themselves
ἀκοντίσαντες ἢ τῷ πτώματι τὴν ζωὴν συνεπέραναν ἢ
having-hurled either by-the fall the life finished or
τοῖς ἐκεῖσε στρεφομένοις βαρβάροις ἑαυτοὺς ἐνεχείρισαν.
to-the there turning-about barbarians themselves handed-over
541 Τί δὲ τῶν γυναικῶν εἴπω πρῶτον, οἷς καὶ αὐτὸν τὸν
what and of-the women may-I-say first with-which even itself the
ἀέρα συνθρηνεῖν αὐταῖς ἐβιάζοντο, ἤγουν τὰς ἀνακλήσεις,
air to-lament-with them they-forced namely the callings-back
τὰς οἰμωγάς, τῶν τέκνων τὰς περιπλοκάς; οὐδ' εὐσχημονεῖν
the wailings of-the children the embraces not to-be-decorous
ἔτι βουλόμεναι νικηθεῖσαι τῷ πάθει, οὐδὲ τῆς ὄψεως
still wishing having-been-conquered by-the suffering nor from-the sight
τῶν ἀνδρῶν ἑαυτὰς ὑπεκκλίνειν, ἀλλ' ἀναιδῶς φερόμεναι,
of-the men themselves to-turn-aside but shamelessly carried
τὰς κόμας ἔχουσαι λελυμένας καὶ τῶν πρὸς συστολὴν
the hair having loosed and of-the(-things) for modesty
ἀμελήσασαι, ἤγοντο συνεκβοῶσαι τοὺς θρήνους καὶ τοῦ
having-neglected were-led crying-out-together the laments and the
κινδύνου καταστενάζουσαι. εἴ που καὶ παρθένος ἐν
danger bewailing if somewhere also maiden among
αὐταῖς, ἡ μήπω τῆς οἰκουρίας προβᾶσα ἀλλ'
them the(-one) not-yet from-the keeping-at-home having-gone-forth but
ἀσφαλῶς τηρουμένη τῷ γάμῳ καὶ σεμνότητα πᾶσαν
safely being-kept for-the marriage and modesty all

δεδιδαγμένη, τὴν αἰδῶ τῆς ὄψεως περιάρασα, καὶ μηδ' ὅτι
having-been-taught the shame of-the face having-taken-off and not-even that
γυνὴ τυγχάνει τῷ δέει λογιζομένη, διήει τῆς ἀγορᾶς
woman she-is by-the fear reckoning went-through the marketplace
ἐν μέσῳ, ταῖς ἄλλαις γυναιξὶ κοινωνοῦσα τοῦ θρήνου καὶ
in middle with-the other women sharing of-the lament and
δεινὸν ἀλαλάζουσα. μοναστὰι δὲ καὶ μονάζουσαι, ὅσοι
terribly shrieking monks and also nuns as-many-as
τὴν προσπάθειαν τοῦ βίου κομιδῇ νέοι ὑπάρχοντες τῷ
the attachment of-the life quite young being by-the
φίλτρῳ τῆς ἀρετῆς ἀπεσείσαντο, ἑαυτοῖς μόνοις καὶ θεῷ
love of-the virtue shook-off to-themselves alone and to-God
ζῶντες, τῶν ἀσκητηρίων ἐκβάντες καὶ ταῖς πλατείαις
living from-the hermitages having-gone-out and in-the squares
διασπαρέντες τῆς πόλεως τὸν κοινὸν ὄλεθρον γοερῶς
dispersed of-the city the common destruction mournfully
ἐκλαυθμύριζον. ἐξ οὗ δή μοι καὶ θάμβος ἐπέρχεται,
wept from which indeed on-me also amazement comes-upon
ὅταν κατὰ νοῦν λάβω τὴν ποικίλην καὶ διάφορον ἀρετὴν
when in mind I-take the varied and different virtue
τῶν Ναζηραίων ἐκείνων, ἣν καταμόνας ἐφιλοπόνουν,
of-the Nazirites those which in-solitude they-labored-at
ἤτοι τὴν πάννυχον ψαλμῳδίαν καὶ τὴν ἱερὰν παρθενίαν
namely the all-night psalmody and the holy virginity
τήν τε ἐκτενῆ προσευχὴν καὶ τὸ ἀκατάπαυστον δάκρυον,
the both earnest prayer and the unceasing tear
πῶς τὴν πρὸς ἡμᾶς θείαν οὐ *** συμπάθειαν, πῶς
how the toward us divine not (lacuna) compassion how
οὐ κατηγγυήσαντο τὴν πόλιν, πῶς οὐχ εὗρον ἔπαθλον
not did-they-secure the city how not did-they-find prize
ἀρετῆς τὴν ἀποφυγὴν τοῦ κινδύνου, συνελήφθησαν δὲ
of-virtue the escape of-the danger were-taken and

μᾶλλον καθάπερ ἀνεπισκόπητα πρόβατα, πάντες τῆς
rather like unwatched sheep all of-the
μαχαίρας γεγονότες καὶ τῷ κλήρῳ τῶν ἁμαρτωλῶν
sword having-become and in-the lot of-the sinners
τῆς σφαγῆς κοινωνήσαντες. πλὴν ἡγοῦμαι ὅτι τούτων
of-the slaughter having-shared but I-think that of-these
μὲν ὁ θάνατος, ὥς φησιν ὁ ψαλμός, τίμιος γέγονεν
indeed the death as says the psalm precious has-become
ἐναντίον κυρίου, κἂν τούτῳ τοῦ σοφοῦ τοὺς οἰκείους
before (the)-Lord even-in this the(-one) wise the own
δούλους τιμήσαντος, ἵνα μετὰ τῆς λοιπῆς ἀρετῆς καὶ τὸ
servants having-honored so-that with the remaining virtue also the
τέλος μαρτυρικὸν ἀπενέγκωνται, ὡς ἂν ἐπιδαψιλεύσηται
end of-martyr they-might-carry-off so-that — he-might-lavish
τούτοις τὰ τῆς ὑπομονῆς γέρα καὶ τῶν ἀρρήτων ἐκείνων
on-them the of-the endurance prizes and of-the ineffable those
ἀγαθῶν τὴν ἀντίδοσιν· ἡμῶν δὲ τὸ πλῆθος παραπτώσεων
goods the recompense of-us and the multitude of-transgressions
οὐ μόνον τὰς τούτων ἐντεύξεις ἀλλὰ καὶ τὰς τῶν
not only the of-these intercessions but also the of-the
μαρτύρων πρεσβείας ἀσυντελεῖς δειχθῆναι πεποίηκεν, ἵν᾽
martyrs embassies ineffectual to-be-shown made so-that
ἡμῶν παθόντων ὅπερ ἤδη πεπόνθαμεν, ἔχωσι γνῶναι
we having-suffered what already we-have-suffered they-may-have to-know
πάντες οἱ τῶν θείων καταφρονηταὶ διατάξεων ὡς κακίᾳ
all the of-the divine despisers ordinances that in-vice
πλεονεκτοῦντας οὐδὲν αὐτοὺς τῆς δεσποτικῆς ἀπειλῆς
excelling nothing them from-the Lord's threat
τῶν σωτηρίων βοηθημάτων ἐξαιρήσασθαι δυνηθήσεται.
of-the saving helps to-deliver will-be-able

Ὡς γὰρ κατὰ πᾶσαν εἰσελθόντες διεμερίσθησαν τὴν 543
as for throughout all having-entered were-distributed the
πόλιν οἱ βάρβαροι, εὐθὺς πᾶσα ἡλικία καὶ πᾶν γένος
city the barbarians at-once every age and every race
ἀνθρώπων ὑπ᾽ αὐτῶν ἀνήρητο. οὐδὲ γὰρ ἦν οἶκτος αὐτοῖς
of-men by them was-destroyed not for was pity for-them
οὐδεὶς πάλαι προμεμηνόσι καὶ τὴν καθ᾽ ἡμῶν διψῶσιν
none long-before having-raged and the against us thirsting
ἀπώλειαν, ἀλλὰ καὶ γέρων καὶ ἀκμάζων ἔτι καὶ νεανίσκος
destruction but both old-man and in-his-prime still and youth
καὶ πᾶς ὁ προστυχὼν ἔργον τοῖς μιαιφόνοις ἦν, οὐδὲ
and every the(-one) met work for-the bloodstained was nor
καιρίας κατ᾽ αὐτῶν ἀφιεῖσι πληγάς, ἀλλ᾽ ὡς ἂν αὐτοὺς
fatal against them dealing blows but so-that — them
ἐνδιατρίβειν ποιῶσι τοῖς ἀλγεινοῖς, τὰ πρὸς τὸν νῶτον
to-linger they-might-make in-the pains the toward the back
μέρη καὶ τοὺς μηροὺς κατατέμνοντες σχολάζειν αὐτοὺς
parts and the thighs cutting to-wait them
τῇ τελειώσει παρεβιάζοντο. καὶ οὐδ᾽ οὕτως ὁ πολιορκῶν
for-the end they-forced and not thus the besieging
αὐτοὺς ἐνεπίμπλατο θυμός, ἀλλ᾽ ὅτι μὴ πολλάκις δύνανται
them was-filled anger but that not often they-can
θνήσκειν μανικῶς ἐδυσφόρουν. ἵνα γὰρ τὴν θηριώδη καὶ
die madly they-were-vexed so-that for the beastly and
ἀδάμαστον ἐκείνην ὄρεξιν ἐμφορήσωσιν, οὐδὲ γυναικῶν
untamed that appetite they-might-glut not-even women
ἐφείσαντο κατ᾽ ἀρχὰς τοῦ κινδύνου, οὐδὲ παίδων
they-spared at (the)-beginnings of-the danger nor children
αὐτῶν, ὧν τὸ τῆς ἡλικίας ἄωρον ἄγειν βιάζεται πολλάκις
themselves whose the of-the age untimely to-lead forces often
καὶ θηρῶν ὀφθαλμοὺς εἰς συμπάθειαν· ἀλλ᾽ ἦν ἐπ᾽ ἴσης
even of-beasts eyes to compassion but was on equal

ἅπασιν ἡ τομή, καθάπερ ἐν χλοηφόρῳ πεδίῳ, πᾶν
for-all the cutting as in green plain all
τὸ παρατυχὸν ἐκθερίζουσα, ὡς ἐν βραχείᾳ καιροῦ
the(-thing) met mowing-down so-that in brief of-time
ῥοπῇ ἄοικον ἀποδειχθῆναι τὴν πόλιν τὴν πρὸ μικροῦ
turn uninhabited to-be-shown the city the before little
στενοχωρουμένην καὶ τοῖς πλήθεσι βρίθουσαν. καθὸ γὰρ
being-crowded and with-the multitudes teeming as for
φθάσαντες εἴπομεν, τὸ μὲν τοῦ δήμου τὰς ἀκρωρείας
having-anticipated we-said the(-part) indeed of-the people the heights
κατειλήφει κατὰ τὴν καλουμένην ἀκρόπολιν συνελαθέν, ἢ
had-occupied at the called acropolis driven-together or
τὴν περιοικίδα τοῦ ὁσίου Δαβὶδ ὀνομαζομένην (τοῦτο γὰρ
the precinct of-the holy David named this for
μᾶλλον τῆς λοιπῆς ὑπερανέχουσι πόλεως, ἔνθα δὴ καὶ
rather than-the remaining rise-above city where indeed also
πλῆθος ἦν μοναχῶν ἐναρέτων πάντων καὶ τῆς οὐρανίου
multitude was of-monks virtuous all and of-the heavenly
πολιτείας ἠξιωμένων), τὸ δὲ πάλιν ταῖς δυσὶ πύλαις
way-of-life deemed-worthy the(-part) and again to-the two gates
προσερρύη ταῖς πρὸς δύσιν ἀφορώσαις τῆς πόλεως,
flowed the toward west looking of-the city
μίαν ἐχόντων πάντων σπουδήν, τοῦ ξίφους διεκφυγεῖν
one having all zeal of-the sword to-escape
τὴν τομήν. ἀλλ᾽ οὐδὲν πλέον τῶν ἄλλων διήνυον,
the cutting but nothing more than-the others they-accomplished
τῶν πυλῶν ἐκτὸς τῶν βαρβάρων ἐφεδρευόντων, καὶ
of-the gates outside the barbarians lying-in-wait and
μηδ᾽ ἄλλως ἔχοντες εὐχερῶς ὑπερβῆναι, τῷ συνωθισμῷ
not-even otherwise being-able easily to-get-over in-the crush
πιέζοντες ἀλλήλους καὶ τὴν διέξοδον ἀποφράττοντες. οἷον
pressing one-another and the passage blocking what-sort

γὰρ ἐγεγόνει κακὸν κατὰ τὴν καλουμένην Χρυσῆν πύλην!
for had-happened evil at the called Golden gate
πῶς παρανοῖξαι ταύτην βουληθέντες μικρόν, ὅσοι τοῦ
how to-open this wishing a-little as-many-as of-the
δήμου τῷ τόπῳ συνερρύησαν, διήμαρτον τῆς ἐπιχειρήσεως!
people to-the place flowed-together failed of-the attempt
μόνον γὰρ ὅτι τὰς πύλας ἀλλήλων διέστησαν, καὶ
only for that the gates from-one-another they-parted and
τῷ ἰδίῳ πιλήματι πάλιν ἐν ἑαυταῖς συνδραμεῖν αὐτὰς
by-the own pressure again on themselves to-run-together them
κατηνάγκασαν· οὕτω δὲ ἔχοντας αὐτοὺς καταλαβόντες
they-forced thus and being them having-caught
οἱ δυσμενεῖς οὐκέτι καθ' ἕνα τοῖς ξίφεσιν ἀνήρουν, ἀλλ'
the enemies no-longer one-by one with-the swords slew but
ὡς εἶδον συνεσφιγμένους ἀλλήλων τε ἐχομένους καὶ
as they-saw pressed-together on-one-another both holding and
ἐκτραπῆναι μὴ δυναμένους, κατὰ κόρρης αὐτοὺς τοῖς
to-turn-aside not being-able on (the)-temple them with-the
ξίφεσιν ἔπαιον, ὡς μετὰ τὴν πληγὴν διαιρεῖσθαι τοῦ
swords they-struck so-that after the blow to-be-cut-off of-the(-one)
προστυχόντος τὴν κεφαλήν, καὶ τοῖς ὁμοίοις τῇδε κἀκεῖσε
met the head and with-the like here and-there
τὰ μέρη συμπίπτειν, καὶ μηδὲ μετὰ θάνατον τῇ γῇ
the parts to-fall-together and not-even after death to-the earth
δίδοσθαι ἀλλ' ἔτι παρακρατεῖσθαι τοῖς λοιποῖς σώμασιν,
to-be-given but still to-be-held-fast by-the remaining bodies
ἕως πάντων ἀναιρεθέντων, καὶ ὥσπερ τοῦ ὑποστηρίζοντος,
until all having-been-slain and as-it-were of-the supporting
τῆς ἁπάντων λέγω ζωῆς διαδράσης, αἵματος ἀλλήλων
of-the of-all I-mean life having-run-off blood on-one-another
καθάπερ καὶ τῆς τελευτῆς κοινωνήσαντα.
as-if also of-the end having-shared

545 Τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ τὴν ἄλλην πύλην, ἣν καλοῦσι
the and same this also about the other gate which they-call
Λιταίαν, πραχθῆναι συνέβη. καθὼς γὰρ ἔφαμεν, τῶν ἄλλων
Litaia to-be-done it-happened as for we-said of-the others
τὰς μὲν πρὸς θάλασσαν ἐξαγούσας αὐτοὶ προκατεῖχον
the(-ones) indeed toward sea leading-out themselves held-first
οἱ βάρβαροι, τὰς δέ γε πρὸς ἀνατολὴν ἀφορώσας ἡμεῖς
the barbarians the(-ones) and indeed toward east looking we
προαποκλείσαντες ἦμεν, τὴν τοῦ πυρὸς μηχανήν, ἣν κατὰ
having-shut-beforehand were the of-the fire device which at
τῶν ἔξω τοῦ προτειχίσματος πυλῶν προπεπόνθαμεν, καὶ
the outside of-the outwork gates we-had-suffered-before also
ἐν αὐταῖς ὑφορώμενοι, ὡς λοιπὸν ἐκ τούτων πανταχόθεν
in them suspecting so-that henceforth from these on-all-sides
ἀποροῦντα τὸν δῆμον πρὸς τὴν φυγὴν περὶ τὰς ἀγυιὰς
being-at-a-loss the people for the flight about the streets
μόνον εἰλεῖσθαι καὶ ἁπανταχοῦ τῷ θανάτῳ προσπίπτειν.
only to-be-rolled and everywhere on-the death to-fall
σχεδὸν γὰρ ὀλίγοι, καὶ λίαν ὡς εἰκὸς εὐαρίθμητοι, κατὰ
nearly for few and very as likely easily-counted at
τὸ δυτικὸν μέρος τοῦ λιμένος ἑαυτοὺς τῶν τειχῶν
the western part of-the harbor themselves from-the walls
ἀκοντίσαντες τὸν κίνδυνον ὑπεξέφυγον· καί τινες ἄλλοι
having-hurled the danger escaped and some others
τῆς κατὰ τὴν ἀκρόπολιν πύλης λάθρα ὑπεκδραμόντες
by-the at the acropolis gate secretly having-run-out
πρὸ τοῦ τὴν συμφορὰν ὑφεστάναι διεσώσαντο τὴν ζωήν.
before the the misfortune to-have-come-on saved the life
οὗτοι δὲ ἦσαν οἱ τῶν Σκλαβήνων ἡγούμενοι, πάλαι
these and were the(-ones) of-the Slavs leading long-before
προμελετήσαντες τοῦτο καὶ τὰς κλεῖδας τῶν πυλῶν ἐκείνων
having-practiced this and the keys of-the gates those

προϋφελόμενοι. οὓς καὶ ἐχρῆν, τὴν ἀκμὴν τοῦ κακοῦ
having-taken-away-beforehand whom also it-was-needful the crisis of-the evil
θεασαμένους, παντὶ τῷ προστυχόντι παραχωρῆσαι τὴν
having-beheld to-every the(-one) met to-yield the
ἔξοδον· οὕτω γὰρ πολλοὶ τῶν αὐτόθι λαχόντων, πρὸ
exit thus for many of-the(-ones) there having-been-allotted before
τοῦ τοὺς βαρβάρους ἐπελθεῖν, τὸν θάνατον ὑπεξέκλιναν
the the barbarians to-come-upon the death would-have-escaped
ἄν. οἱ δὲ τοιοῦτον μὲν οὐδὲν οὐδὲ εἰς νοῦν λαβεῖν
— the(-ones) and such indeed nothing not-even into mind to-take
ἠνέσχοντο· ἀεὶ δὲ τὸ οἰκεῖον προορώμενοι, καὶ ὅπως
endured always and the own(-interest) foreseeing and how
τὸν κίνδυνον διακρούσονται κἂν τούτῳ διασκεψάμενοι, τὰς
the danger they-will-ward-off even-in this having-considered the
πύλας μικρὸν παρανοίξαντες καὶ τὴν ὑπεκδρομὴν τομῶς
gates a-little having-opened and the escape boldly
ποιησάμενοι, ἕνα τινὰ τῷ τόπῳ καταλιπόντες πρὸς τὸ
having-made one some in-the place having-left for the
μετὰ τὴν ἐκείνων ἔξοδον καὶ αὖθις ταύτας συγκλεῖσαι,
after the of-those exit also again these to-shut
οὕτω τῆς πάντων ἐπεβουλεύσαντο σωτηρίας καὶ τότε,
thus of-the of-all they-plotted-against safety and then
πρόφασίν τινα δολίαν πλασάμενοι, ὡς οὐ πρὸς φυγὴν
pretext some deceitful having-fabricated that not for flight
ἐκτρέπονται, πρὸς ὑποδοχὴν δὲ μᾶλλον τῶν Στρυμονιτῶν
they-turn for reception and rather of-the Strymonite
συμμάχων, τοῦ στρατηγοῦ δῆθεν τοῦτο προστάξαντος.
allies the general forsooth this having-ordered
Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ ξιφήρεις οἱ βάρβαροι 546
not much and the(-time) in middle and sword-bearing the barbarians
ταῖς πύλαις ἐπέστησαν, καὶ οὐκέτι δυνατὸν ἦν οὐδὲ
at-the gates stood and no-longer possible was not-even

προσβλέψαι μόνον ἐκτὸς ἀκινδύνως τινά, μήτοι γε τὸν
to-look-out only outside without-danger anyone not-at-all indeed the
κίνδυνον ὑπαλύξαι. κἀγὼ γὰρ αὐτὸς σὺν τῷ πατρὶ καὶ
danger to-escape and-I for myself with the father and
τοῖς ἀδελφοῖς (δύο δέ μοί εἰσιν οὗτοι νεώτεροι, τῆς
the brothers two and to-me are these younger than-the
ἐμῆς ἡλικίας ὑποβεβηκότες, οἱ μέχρι τοῦ δεῦρο τῆς τε
my age coming-under the(-ones) until the here of-the both
φρουρᾶς καὶ τῶν λοιπῶν ἀλγεινῶν μοι συγκοινωνοῦντες)
captivity and of-the remaining painful(-things) with-me sharing
κατ᾽ αὐτὴν τὴν ὥραν παρόντες εὑρέθημεν ἐν τῷ τόπῳ
at itself the hour being-present were-found in the place
μετὰ καί τινων ἄλλων τῶν ἀπὸ τῆς πόλεως οὐκ ὀλίγων.
with also some others the(-ones) from the city not few
καὶ ὡς ἤδη τὴν πονηρὰν ἐκείνην ὑπέστημεν ἐπιβουλήν
and as already the evil that we-underwent plot
(μετὰ γὰρ τὸ πραχθῆναι τὴν σκῆψιν τὸ συμβὰν
after for the to-be-done the pretext the(-thing) happened
ἐπεγνώκειμεν), ὀπισθόρμητοι πάντες, ἕκαστος ἡμῶν ὡς
we-had-recognized driven-back all each of-us as
εἶχε τάχους, πρὸς τὴν πόλιν συνηλαυνόμεθα, ἄλλος
he-had of-speed to the city were-driven-together other(-one)
ἀλλαχοῦ διαιρεθέντες, καθὼς ἂν ἦγεν ἡ συμφορά, τοῦ
elsewhere separated as — led the misfortune of-the
φόβου διατιθεῖσα τὰ σχήματα. ἔδοξεν οὖν τῷ τε πατρὶ
fear disposing the forms it-seemed-good then to-the both father
καὶ ἡμῖν, μήπω πεφθακότων πρὸς ἡμᾶς τῶν βαρβάρων,
and to-us not-yet having-arrived at us the barbarians
εἴς τινα πύργον τῶν κατὰ τὸ ἐνδότερον τεῖχος ἀνιέναι
into some tower of-the(-ones) at the inner wall to-go-up
τέως καὶ μὴ τῷ πλήθει συναναμίγνυσθαι, ὡς ἂν τῶν
for-a-while and not with-the multitude to-mingle so-that — the

πολεμίων τυχὸν ἐπιστάντων, τῶν ἄλλων διαιρεθέντες
enemies perhaps having-come-up from-the others separated
καὶ μόνοι τούτοις κατὰ τῶν ἐπάλξεων ἐντυγχάνοντες,
and alone with-them on the battlements meeting
δυνηθῶμέν τινα πρεσβείαν τούτοις προσαγαγεῖν καὶ τὴν
we-might-be-able some embassy to-them to-bring and the
ζωὴν ἑαυτοῖς διασώζεσθαι. ὃ δὴ καὶ γέγονε τῇ θεϊκῇ
life for-ourselves to-preserve which indeed also happened by-the divine
προνοίᾳ. τὸ δ' ὅπως καὶ μεθ' οἵας παραδοξοποιοῦ
providence the(-thing) and how also with what-kind-of wonder-working
δυνάμεως, λέξων ἔρχομαι.
power going-to-tell I-come
Ἀνήλθομεν ἐν τῷ τείχει σπουδῇ θέοντες κατά τινα πρόβολον 547
we-went-up on the wall with-haste running at some outwork
ἀντικρὺ τοῦ ἐκεῖ σεβασμίου σηκοῦ τοῦ πρωτοκλήτου τῶν
opposite the there venerable shrine of-the first-called of-the
ἀποστόλων Ἀνδρέου. πέντε δὲ ἦμεν οἱ πάντες ὁμοῦ, ὁ
apostles Andrew five and were the all together the
πατὴρ ὁ ἐμὸς κἀγὼ σὺν τοῖς ῥηθεῖσι δυσὶν ἀδελφοῖς καί τις
father the my and-I with the mentioned two brothers and some
ἕτερος μετέχων καὶ αὐτὸς τῆς ἡμῶν ἀγχιστείας, κληρικοὶ
other sharing also himself of-the our kinship clerics
πάντες καὶ τῷ τῶν ἀναγνωστῶν διαπρέποντες τάγματι.
all and in-the of-the readers excelling order
μικρὸν οὖν αὐτόθι καθησυχάσαντες, καὶ καθ' ἑαυτοὺς
little then there having-rested and by ourselves
λογιζόμενοι τὸ ἐφεστὸς τῆς μαχαίρας τέλος, ἠρχόμεθα τῶν
reckoning the impending of-the sword end we-began the
γόων, ἕκαστος τῆς τε οἰκείας ψυχῆς καὶ τῆς ἐξ ἀλλήλων
wailings each of-the both own soul and of-the from one-another
καταστενάζοντες διαιρέσεως. καὶ πρῶτος ἐξῆρχε θρήνων
lamenting separation and first began laments

ὁ πατήρ, ἤδη προβεβηκὼς ὢν καὶ πολλὴν περὶ τὸ
the father already advanced being and much about the
λέγειν ἐπιστήμην ἐξησκημένος, “φεῦ μοι” λέγων, “ὦ τέκνα
speaking skill having-practiced alas me saying O children
πολυπαθῆ, ἐν τίσιν οὖν περιελήφθην, καὶ τίνι ταῦτα
much-suffering in what then have-I-been-caught and for-what these(-things)
ἀπέκειτο τῇ δυστήνῳ μου ταύτῃ καὶ ταλαιπώρῳ ζωῇ,
were-laid-up for-the wretched my this and miserable life
ἵν’ οὓς κατὰ διαφόρους ἀπέτεκον χρόνους καὶ τῇ γενέσει
so-that whom at different I-begot times and to-the birth
παρέθηκα, ὑφ’ ἓν ἴδω τὴν τελευτὴν ὑπερχομένους, καὶ
I-entrusted in one I-may-see the end undergoing and
μηδ’ ὅπερ ταῖς ἀτυχοῦσίν ἐστι συγκεχωρημένον, σχολὴν
not-even what to-the(-ones) unfortunate is granted leisure
ἄγω ἄξιον τοῦ πάθους ὀδύρασθαι. συνεκάλεσα
I-may-have worthy of-the suffering to-lament I-would-have-called-together
γὰρ ἂν πρὸς τὸ κοινὸν τοῦτο καὶ ἀπαρηγόρητον πάθος
for — to the common this and unconsolable suffering
καὶ αὐτὰ τὰ ἄψυχα τῶν κτισμάτων κοινωνῆσαί μοι
even themselves the lifeless of-the creations to-share with-me
τοῦ πάθους καὶ τὴν συμφορὰν συμμερίσασθαι. οὐδὲ γὰρ
of-the suffering and the misfortune to-divide not-even for
οἱ πάντες τῶν ὁμοπατρίδων ἄλλως ἄγουσιν ἢ ἐγώ,
the all of-the compatriots otherwise fare than I
ἕκαστός τινα τῶν οἰκείων ἀπεκδεχόμενος καὶ τῆς ἑτέρου
each some of-the own(-people) awaiting and of-the of-another
συμπαθείας ἐπιδεόμενος. ἐμοὶ γὰρ δύο δεινὰ συνέβη
compassion needing to-me for two terrible(-things) happened
κατὰ ταὐτό, ὅ τε ψυχικὸς κίνδυνος ἐν ἁμαρτίαις τὴν
at the-same the both of-the-soul danger in sins the
ζωὴν δαπανήσαντι, καὶ ὁ ἐξ ὑμῶν οὗτος ἀπροσδόκητος
life having-spent and the from you this unexpected

χωρισμός, ὃν οὕτως οὔποτε προσεδόκησα, ἀλλ᾽ ἀεὶ
parting which thus never I-expected but always
δι᾽ ἐντεύξεως εἶχον ὑφ᾽ ὑμῶν καλυφθῆναι τὰ βαρυπενθῆ
through prayer I-had by you to-be-covered the grief-laden
ὄμματα ταῦτα, ἵν᾽ ἐπαναπαυσάμενος ταῖς ὑμετέραις
eyes these so-that having-rested in-the your
χερσὶ τῷ τάφῳ τῶν πατέρων δοθῶ, καὶ ὑμᾶς ἐν
hands to-the tomb of-the fathers I-may-be-given and you in
ἀσφαλείᾳ καταλείπω τῆς τε μητρὸς γηροκόμους καὶ τοῖς
safety I-may-leave of-the both mother nurses-of-old-age and for-the
ἔτι κομιδῇ νέοις καὶ τῷ χρόνῳ καθυστερίζουσι δυσὶν
still quite young and in-the time coming-later two
ἀδελφοῖς ὑμῶν τὰς περὶ τὸ ζῆν ἀφορμὰς προνοήσοντας.
brothers of-you the about the living means going-to-provide
νυνὶ δὲ πᾶσα μὲν τοιαύτη διόλωλεν ἐλπίς, ἐν μέσοις δὲ
now and all indeed such has-perished hope in middle and
τοῖς δεινοῖς ἀπειλημμένος ἄωρον ἐκδέχομαι τὴν μεθ᾽
the terrible(-things) caught untimely I-await the with
ὑμῶν τελευτήν. καὶ οὕτω με τετήρηκε τῶν ἀνομιῶν τὸ
you end and thus me has-kept of-the iniquities the
πλῆθος καὶ εἰς ταύτην τεταμίευκε τὴν ἡμέραν, ἵνα κατ᾽
multitude and for this has-stored-up the day so-that before
ὀφθαλμοὺς ἴδω τὰ φίλτατά μοι τῶν τέκνων βαρβαρικῶν
eyes I-may-see the dearest my of-the children for-barbarian
ξιφῶν παρανάλωμα καὶ τὰ παμπόθητα μέλη ταῖς χερσὶ
swords waste and the all-longed-for limbs by-the hands
τῶν δημίων ἀνηλεῶς διασπώμενα, ὢ τῆς ὀδύνης, οὐδὲ
of-the executioners pitilessly torn-apart oh of-the pain not-even
τοῦτο ἀσφαλὲς ἔχων, ὅτι τὸν δύστηνον ἐμὲ πρῶτον ὁ
this safe having that the wretched me first the
μιαιφόνος τῆς ζωῆς ἀπαλλάξει.
bloodstained from-the life will-release

ἦν γὰρ ὡς ἐν συγκρίσει κακῶν τὸ κατ᾽ ἐμὲ φορητόν·
was for as in comparison of-evils the at me bearable
ὕποπτον δέ μοι τὸ νεάζον καθέστηκε τῆς καθ᾽ ὑμᾶς ἡλικίας,
suspect and to-me the youthful has-become of-the at you age
καὶ τῶν προσώπων τὸ ἀνθηρὸν μαντεύεσθαί με ποιεῖ,
and of-the faces the blooming to-prophesy me makes
πρῶτον τῆς ἀφ᾽ ὑμῶν τομῆς τοὺς ἐχθροὺς ἐμφορηθέντας
first of-the from you cutting the enemies glutted
ἐν ὑστέρῳ με πολλοὺς ὑπομεμενηκότα θανάτους καὶ
in later(-time) me many having-undergone deaths and
καθ᾽ ἕνα ὑμῶν ἀθλήσαντα, οὕτω τοῖς ὑμετέροις αἵμασι
one-by one of-you having-contended thus with-the your bloods
συμφυραθῆναι. ἀλλὰ γὰρ ἔλαθον ἐμαυτόν, ὦ φίλτατα
to-be-mixed but for I-escaped-the-notice-of myself O dearest
τέκνα, πόρρω τοῦ δέοντος πλανηθεὶς καὶ ἅπερ οὐκ
children far from-the needful having-wandered and which not
ἔδει τοῖς θρήνοις συνεξειπών. νενίκημαι γὰρ τῷ
it-was-needful with-the laments having-spoken-out I-have-been-conquered for by-the
κακῷ, καὶ ἡ πάνδημος συμφορὰ καταστενάξαι τοῦ καιροῦ
evil and the public misfortune to-bewail of-the time
καὶ τῶν πραγμάτων καὶ ἄκοντά με παρεβιάσατο. τίς γὰρ
and of-the things also unwilling me forced who for
ἂν καὶ λιθίνην ἔχων καρδίαν, τῷδε τῷ πάθει συνεπαρθείς,
— even of-stone having heart by-this the suffering carried-away
ἑαυτὸν καὶ τοὺς ἀμφ᾽ αὐτὸν τοσούτῳ κακῷ συσχεθέντας
himself and the(-ones) about him by-so-great evil held
μὴ ἀποδύρηται; ἀλλ᾽ οὐδέν ἐστιν ὃ βούλεται καὶ
not would-lament but nothing is which wishes and
πράττει θεὸς ἐν ἀνθρώποις μὴ πρός τι χρήσιμον τέλος
does God among men not for some useful end
οἰκονομούμενον. τάχα γὰρ ἀπέκειτο διὰ τὴν μοχθηρίαν
being-ordered perhaps for was-laid-up because-of the wickedness

ἡμῶν τὸ οὕτως ἀποθανεῖν· καὶ ἰδοὺ κατ᾽ ὀφθαλμοὺς ἡ τῆς
of-us the thus to-die and behold before eyes the of-the
ζωῆς ἐφέστηκεν ἔκτισις, βιαίως τοῖς ξίφεσι τὰς ψυχὰς
life is-at-hand payment violently with-the swords the souls
ἡμῶν ἐκτιννύουσα. ἀλλ᾽ οὐχ ἔστιν ἄδικος ὁ συγχωρήσας
of-us exacting but not is unjust the(-one) having-permitted
ταῦτα παθεῖν καὶ τόνδε καθυπενέγκαι βίαιον τοῦ σώματος
these(-things) to-suffer and this to-undergo violent of-the body
χωρισμὸν καὶ τὰς εὐθύνας τῶν ἡμαρτημένων κατὰ τὴν
separation and the accounts of-the sins at the
μέλλουσαν εἰσπραχθήσεσθαι δίκην. διὸ στῆτε γενναίως,
future to-be-exacted judgment wherefore stand nobly
τὴν ἐλπίδα πᾶσαν πρὸς αὐτὸν μόνον ἀπαιωρήσαντες
the hope all toward him only having-hung
τὸν δυνάμενον ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας. καὶ κἄν
the(-one) being-able to-forgive on the earth sins and even-if
τι δέοι παθεῖν ἀλγεινὸν χάριν τῆς εἰς αὐτὸν
anything it-should-be-needful to-suffer painful for-the-sake of-the toward him
πίστεως, ἐνέγκωμεν μύσαντες, καὶ μηδὲν φοβηθῶμεν
faith let-us-bear having-shut(-our-eyes) and nothing let-us-fear
ἀπὸ τοῦ σωματικοῦ τούτου θανάτου, ὃν εἰ καὶ μὴ οὕτως,
from the bodily this death which if even not thus
ἀλλὰ πάντως ἑτέρως καθυπομεῖναι χρεών ἐστι καὶ τῇ
but surely otherwise to-undergo needful it-is and to-the
γενέσει τὸ ὀφειλόμενον λειτουργῆσαι. γενέσθω οὖν
birth the(-thing) owed to-render let-become then
ἡ τῆς ζωῆς στέρησις εὐχαριστίας ἡμῖν ἀφορμή, ἵνα
the of-the life deprivation of-thanksgiving to-us occasion so-that
μὴ θάνωμεν μόνον, ἀλλὰ καὶ ἐπ᾽ ἐλπίδι τῆς ἐκεῖθεν
not we-may-die only but also in hope of-the thence
μακαριότητος.” ταῦτα λέγων ἕκαστον ἡμῶν πρὸς τὸν
blessedness these(-things) saying each of-us for the

διὰ ξίφους θάνατον ἐπαιδοτρίβει, καὶ προθυμίαν παρεῖχε
through sword death he-trained and eagerness gave
μὴ ἀπευδοκεῖν τὴν τελείωσιν.
not to-be-displeased-with the end

VII · TAKEN ALIVE

Ethiopians kill those on the wall and balk at the tower's rotten crossing. Kameniates steps forward unarmed, stops a blow with gold ornaments and the promise of hidden treasure, and a second barbarian takes the family under his protection with an oath. Led toward the sea, he is wounded in the back and side by another Ethiopian, but their protector drives the man away. In the church of Saint George a barbarian chief has three hundred captives slaughtered, then spares the family and sends them to the harbor.

550 Ἐν ὅσῳ δὲ ταῦτα πρὸς ἡμᾶς διελέγετο καὶ συμπεσόντες
in as-much and these(-things) to us he-was-speaking and having-fallen-upon
ἀλλήλοις τὰ τελευταῖα συνεταττόμεθα, ἰδοὺ δὴ καὶ τῶν
one-another the last(-farewells) we-were-arranging behold indeed also of-the
βαρβάρων κατεφάνησάν τινες ἀνιόντες, τὸν ἀριθμὸν οὐκ
barbarians appeared some coming-up in-the number not
ὀλίγοι, Αἰθίοπες τὴν χροιάν, τὰ σώματα γεγυμνωμένοι,
few Ethiopians the color the bodies stripped
ἐσπασμένας ἔχοντες τὰς μαχαίρας, δεινὸν ἐξαλλόμενοι
drawn having the swords terribly leaping
καὶ τῇ παραθήξει τῶν ὀδόντων συῶν δίκην τὸ μανικὸν
and by-the whetting of-the teeth of-boars like the frenzy
ἐνδεικνύμενοι. ἐφεστῶτες οὖν τῷ τόπῳ πρῶτον τοὺς
showing having-come-up then to-the place first the(-ones)
μεθ' ἡμῶν ὑποστρέψαντας ἀπὸ τῆς τῶν πυλῶν κακουργοῦ
with us having-returned from the of-the gates evil-working

συγκλείσεως, αὐτοῦ που παρὰ τὸ τεῖχος εἰλουμένους,
shutting there somewhere by the wall rolling-about
τοῖς ξίφεσιν ἐκείνοις διεχειρίσαντο· οἷς οὐδὲν ἦν πρὸ
with-the swords those they-destroyed for-whom nothing was before
τούτου πλέον μελετηθὲν ἢ μόνον τῇ δεξιᾷ τοῦ δημίου
this more practiced than only to-the right(-hand) of-the executioner
τὸν αὐχένα ὑπέχειν καὶ πρὸς τὴν τομὴν σχηματίζεσθαι.
the neck to-hold-out and for the cutting to-take-position
καὶ ἦν ἰδεῖν τὸ πραττόμενον ἐκπλήξεως γέμον.
and it-was-possible to-see the(-thing) being-done of-astonishment full
εἰ γὰρ τῷ εὐπειθεῖ τοῦ ἑαυτὸν προδόντος καὶ πρὸς
if for by-the ready-obedience of-the(-one) himself having-betrayed and to
τὸν θάνατον ὑποκλίνοντος ὁ φονεὺς κατενύγη, καιρίαν
the death bowing the murderer was-pricked fatal(-blow)
ἄγων θᾶττον αὐτὸν τῶν ἀλγηδόνων ἀπήλλαττεν· εἰ δὲ
bringing more-quickly him from-the pains he-released if and
μὴ ἐμαλάχθη τὴν λιθώδη καρδίαν, ἀλλ᾽ ἤθελεν ἐντρυφᾶν
not he-was-softened the stony heart but wished to-revel-in
τῆς μανίας, μᾶλλον τοῖς τῶν ἁλόντων ἀτυχήμασι τὸν
the frenzy rather in-the of-the captured misfortunes the
θυμὸν διεγείρων, μεληδὸν κατήκιζε τὸ προστυχὸν σῶμα
anger rousing limb-by-limb he-tortured the met body
καὶ πολλῶν θανάτων φορὰν ἐν μιᾷ συμφορᾷ τῷ δειλαίῳ
and of-many deaths burden in one misfortune on-the wretch
παρείχετο. οὐδὲν δὲ ἕτερον ἦν ἀκούειν ἐν οὕτω παμπληθεῖ
he-laid nothing and other was to-hear in so very-numerous
καὶ πολυανθρώπῳ δήμῳ, ἀλλ᾽ ἢ μόνον τὸν συριγμὸν
and populous people but than only the hissing
τῶν ξιφῶν καὶ τῶν τοῦ αἵματος ὀχετῶν τὴν μετὰ
of-the swords and of-the of-the blood channels the with
βίας ἔκρυσιν. οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ πάντες
force outflow not much and the(-time) in middle and all

ἔκειντο θέαμα πολλῶν ὀδυρμῶν καὶ θρήνων ἐπάξιον. ὡς
lay spectacle of-many lamentations and laments worthy as
δὲ καὶ πρὸς ἡμᾶς ἔφθανεν ἡ τομὴ (τῷ τείχει γὰρ
and also to us was-reaching the cutting on-the wall for
εἶδον συγκεκυφότας), ἐφώρμησαν ὁμοθυμαδὸν καθάπερ
they-saw bent-together they-rushed with-one-accord as
εἴς τι πρόχειρον θήραμα. φθάσαντες δὲ πλησίον τὴν
into some ready prey having-arrived and near the
ὁρμὴν ἐπέσχον. ἦν γὰρ ὁ ῥηθεὶς ἐν τῷ μεταξὺ πύργος,
impetus they-checked was for the mentioned in the between tower
δι' οὗ διελθεῖν ἔμελλον καὶ πρὸς ἡμᾶς γενέσθαι,
through which to-go-through they-were-about and to us to-come
ὃς πάλαι ἦν τὸ ἔδαφος ἅπαν ξύλοις ἐστρωμένος,
which long was the floor all with-timbers strewn
ἅτινα τῷ χρόνῳ σαπέντα καὶ διαρρεύσαντα οὐκ ἀσφαλῆ
which by-the time having-rotted and having-fallen-apart not safe
παρεῖχον τὴν ἐκεῖθεν διάβασιν· δύο γὰρ μόνα κατὰ μέσον
furnished the thence crossing two for only in middle
ξύλα ἐναπῃώρηντο, δι' ὧν οἱ ταύτην διερχόμενοι
timbers were-suspended through which the(-ones) this going-through
ὑπότρομον τὴν πάροδον ἐπεποίηντο. τὸ ἀμφίκρημνον
trembling the passage had-made the precipitous
οὖν τοῦ κινδυνώδους τόπου κατιδόντες οἱ βάρβαροι
then of-the dangerous place having-seen the barbarians
ἐφώρασαν μή πως ἐν μέσῳ τῶν ξύλων γενομένων αὐτῶν
suspected lest somehow in middle of-the timbers having-come them
λάθωμεν τεχνάσματα πεποιηκότες εἴσω τοῦ πύργου καὶ
we-might-secretly devices having-made inside of-the tower and
κρημνισθῆναι τούτους παρασκευάσωμεν, εἰς ὕψος ἐπῃρμένου
to-be-thrown-down them we-might-contrive to height raised
πολὺ καὶ χαλεπὴν τὴν πτῶσιν ἐπαπειλοῦντος.
much and grievous the fall threatening

τοῦτο δὲ ὁ τῶν θαυμασίων θεὸς ταῖς αὐτῶν διανοίαις
this and — of-the wonders God to-the their minds
ὑπέβαλεν· εἰ γὰρ ἅμα τῷ πρὸς ἡμᾶς γενέσθαι τομῶς
suggested if for at-once with-the toward us to-come boldly
τῆς διαβάσεως κατετόλμησαν, οὐδὲν ἧττον καὶ ἡμεῖς
the crossing they-had-dared nothing less also we
τῶν κειμένων τὸν ὄλεθρον ὑπεμένομεν. τῆς σχολῆς
than-the(-ones) lying the destruction would-have-undergone of-the leisure
τέως τῆς τῶν λογισμῶν αὐτῶν διαιρέσεως, τοῦ φόβου
for-a-while of-the of-the reasonings of-them division from-the fear
τὰς ψυχὰς ἕκαστος ἡμῶν περιάραντες, εἴ τι καὶ
the souls each of-us having-lifted if anything also
δέοι πράττειν τῷ καιρῷ χρήσιμον ταῖς φρεσὶ
should-be-needful to-do for-the moment useful in-the minds
κατεμεριζόμεθα. ὡς οὖν εἶχον ἐγὼ τάχους ἀναπηδήσας καὶ
we-divided as then I-had I of-speed having-leapt-up and
θανάτου καταφρονήσας καὶ μηδ' ὅ τι κατὰ κόρρης
death having-despised and not-even what ever on (the)-temple
ἐφέστηκε τὸ παράπαν εἰς νοῦν θέμενος, κατ' αὐτὴν
stood the at-all in mind having-put at itself
γενόμενος τοῦ πύργου τὴν εἴσοδον ἔμελλον διὰ τῶν
having-come of-the tower the entrance I-was-about through the
ξύλων πρὸς τοὺς βαρβάρους χωρεῖν. οἱ δ' ἐπειδὴ
timbers to the barbarians to-go the(-ones) and since
οὕτω μιθαρσαλέως πρὸς αὐτοὺς κατεῖδον αὐτομολήσαντα,
thus boldly to them they-saw having-deserted
ἄοπλον μὲν καὶ πρὸς ἄμυναν οὐδὲν ἐπιφερόμενον, ἔχοντα
unarmed indeed and for defense nothing bringing having
δέ τι σπουδαῖον εἰπεῖν, ἐπῆλθον καὶ αὐτοὶ στοιχηδὸν
but something serious to-say came also themselves in-a-row
ἀλλήλους συντάξαντες καὶ τὰς δεξιὰς ἀνατείναντες,
one-another having-drawn-up and the right(-hands) having-stretched-up

τάς τε μαχαίρας κατὰ τῆς ἐμῆς κορυφῆς ἐπαγαγεῖν
the both swords on the my head to-bring-down
σχηματισάμενοι. ὡς δ' οὐδὲ τοῦτό με τέως καταπτῆξαι
having-made-show as but not-even this me for-a-while to-cower
πεποίηκεν (ὅλον γὰρ εἶχον τὸν νοῦν πρὸς ἅπερ ἤθελον
made whole for I-had the mind toward what I-wished
λέγειν ἠσχολημένον), εἷς τις τῶν Αἰθιόπων, καὶ τούτων
to-say occupied one some of-the Ethiopians and of-these
μάλιστα ὁ γενναιότερός τε καὶ εὐτολμότερος, μεγέθει
most the nobler both and more-daring in-size
τῶν λοιπῶν διενηνοχώς, κατ' ἐμὲ γενόμενος ἐπεχείρει
than-the rest excelling at me having-come attempted
μοι τὴν μάχαιραν κατενεγκεῖν τῷ μετώπῳ. ἐγὼ δὲ τὰς
on-me the sword to-bring-down on-the forehead I and the
χεῖρας ἀνασχών "μὴ τοῦτο πράξῃς" εἶπον, "ἐπεὶ πολλῶν
hands having-held-up not this do I-said since of-much
χρημάτων σεαυτὸν καὶ τοὺς περὶ σὲ ζημιοῖς." οὕτως
money yourself and the(-ones) about you you-deprive thus
ἔτυχον εἰπών, καὶ τῷ πεπαρρησιασμένῳ τοῦ σχήματος
I-happened having-said and by-the boldness of-the bearing
τὴν ὁρμὴν τοῦ Αἰθίοπος τέως πρὸς τὸ μὴ τὴν τομὴν
the impulse of-the Ethiopian for-a-while for the not the cutting
ἐνεγκεῖν ἀνακόψας, τὴν λαιὰν δὲ τῶν χειρῶν ἐγκρύψας εἴσω
to-bring having-checked the left and of-the hands having-hidden inside
τοῦ κόλπου καί τινα χρύσια κόσμια τὸ τάχος ἐξενεγκὼν
of-the bosom and some golden ornaments the quickness having-brought-out
καὶ τῇ παλάμῃ τούτου ἐνθέμενος, "ἔστωσάν σοι ταῦτα"
and in-the palm of-him having-placed let-be to-you these(-things)
ἔφην "ἐνέχυρα τῆς ζωῆς τῆς ἐμῆς. εἴπερ δὲ πολὺ πλείονα
I-said pledges of-the life the my if-indeed and much more
τούτων εὐπορῆσαι βούλει, τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς,
than-these to-be-rich you-wish to-the father and to-the brothers

ἀλλὰ καὶ τἀδελφῷ τοῦ πατρός," ἐπιστραφεὶς καὶ τούτους
but also to-the-brother of-the father having-turned and these
ἐν ᾧπερ ἦσαν τόπῳ τῷ δακτύλῳ καθυποδείξας,
in which-very they-were place with-the finger having-pointed-out
"τὸ μὴ θανεῖν κατεγγύησαι, καὶ παρέξομαί σοι χρήσιμα
the not to-die pledge and I-will-provide to-you useful
δῶρα, τῇ προσδοκίᾳ ὑμῶν ἔν τισιν ἀφανέσι τόποις
gifts in-the expectation of-you in some hidden places
προαποτεθειμένα, οὓς ἡμεῖς τε μόνοι διαγινώσκομεν καὶ
stored-beforehand which we both alone know and
ὑμῖν προθύμως σωτηρίας τυγχάνοντες ὑποδείξομεν. εἰ δέ
to-you eagerly of-safety obtaining we-will-show if and
γε θάνοιμεν, διόλωλεν ἐκεῖνα, τάς τε ὑμῶν διαφυγόντα
indeed we-should-die has-perished those the both your having-escaped
χεῖρας καὶ τῇ ζωῇ τῇ ἡμετέρᾳ συναπολήξαντα,"
hands and with-the life the our having-ceased-together
τούτοις τὸν θυμὸν παρακατασχὼν τοῦ βαρβάρου, καὶ
with-these the anger having-restrained of-the barbarian and
τῇ ἐπιδόσει τῶν κοσμίων εἰς ὑπόνοιαν ὧν φθάσας
by-the giving of-the ornaments into suspicion of-which having-anticipated
εἶπον τὴν διάνοιαν αὐτοῦ ἐμβαλών, ἐν οἷς ποικίλως
I-said the mind of-him having-thrown in which variously
ἑαυτὸν πρὸς ἱκεσίαν κατεσχημάτιζον. οὐδὲ γὰρ ᾔδει
myself for supplication I-was-shaping not-even for he-knew
βάρβαρος ὢν ἃ πρὸς αὐτὸν διελεγόμην, ἀλλ' ἢ μόνον
barbarian being what to him I-was-saying but than only
ἐφαίνετο θαυμάζων τὴν παρρησίαν καὶ τὸ σεσοφισμένον
he-appeared marveling-at the boldness and the cunning
τῆς πληροφορίας παντὶ τρόπῳ κατενεργούμενον.
of-the assurance in-every way being-worked

553 Ἐν τούτοις ἕτερός τις ἐγγύθεν ἐλθὼν ἀφῆκε φωνήν,
in these another some from-near having-come let-out voice
"τί ταῦτα οὕτω ποιεῖς, καὶ τὸν Αἰθίοπα ταῖς ἱκεσίαις
why these(-things) thus do-you-do and the Ethiopian with-the supplications
παρακατέχεις, ἐξὸν εἰπεῖν πρὸς ἐμέ; καὶ εἴ τι
do-you-hold-back it-being-possible to-speak to me and if anything
καὶ δέοι, συναντιλήψομαί σοι." ἐγὼ δὲ τὸ πλέον
also should-be-needful I-will-help you I and the more
θαρρήσας καὶ τῇ τοῦ ἀνδρὸς παρουσίᾳ πρὸς τὸ
having-taken-courage and at-the of-the man presence to the
εὐθυμότερον μετατεθεὶς ἀνέκραγον, "σῶσον" εἰπών,
more-cheerful having-been-changed shouted-out save having-said
"ὅστις εἶ, πρὸς θεοῦ ἡμῖν ἐν τούτοις χρειωδῶς
whoever you-are by God to-us in these usefully
ἀπεσταλμένε, καὶ τῆς παρούσης ἀνάγκης ἐξάρπασον.
sent and from-the present necessity snatch(-us)
λήψῃ δὲ παρ' ἡμῶν ταύτης τῆς χάριτος ἕνεκεν
you-will-receive and from us of-this the favor for-the-sake-of
ἄξια τῆς ζωῆς ἡμῶν. λύτρα, καὶ ὧν οὐδὲν ἐξ ἴσου,
worthy of-the life of-us ransoms and of-which nothing in equal(-measure)
κατὰ πᾶσαν ἣν ἤλωτε τήνδε τὴν πόλιν, ἐν ἄλλοις
in all which you-took this the city in others
τισὶν εὑρεθήσεται." ἐκεῖνος οὖν "θαρσεῖτε" ἔφη, "καὶ τοῦ
some will-be-found that(-one) then take-courage he-said and of-the
θανάτου τῆς ἐννοίας ἀπόσχεσθε, καὶ πρὸς τὸ εὐθυμότερον
death from-the thought abstain and to the more-cheerful
ἑαυτοὺς μεθαρμόσατε. ἐγὼ δέ" φησι "καὶ τοὺς Αἰθίοπας
yourselves change I and he-says also the Ethiopians
πείσω τὰ αὐτά μοι συνθέσθαι, καὶ μέχρις αὐτοῦ
will-persuade the same(-things) with-me to-agree and as-far-as himself
τοῦ καθηγουμένου παντὸς τοῦ στρατοῦ ὑμᾶς ἀπάξω πρὸς
the leader of-all the army you I-will-lead for

τὸ καὶ ὑπ᾽ ἐκείνου λαβεῖν τὴν περὶ τοῦ ζῆν πληροφορίαν.
the also by him to-receive the about the living assurance
μόνον αὐτοὶ τὰ ὑποσχεθέντα πληρῶσαι πρὸς ἀλλήλους
only yourselves the(-things) promised to-fulfill with one-another
διανοήθητε· εἰ γάρ τι τῶν παρ᾽ ὑμῶν λεχθέντων
consider if for anything of-the(-things) by you said
μὴ πρὸς ἔργον ἀχθῇ, ταῖς μαχαίραις ταύταις κριθήσεται.”
not to deed be-brought by-the swords these it-will-be-judged
ὡς οὖν ταῦτα ἔλεγεν, εὐθὺς ὁ πατὴρ ὁ ἐμὸς σὺν τοῖς
as then these(-things) he-said at-once the father the my with the
ῥηθεῖσι δυσὶν ἀδελφοῖς καθ᾽ ἡμᾶς γενόμενοι, καὶ τοῖς ποσὶ
mentioned two brothers at us having-come and on-the feet
τούτου τὰς κεφαλὰς προσερείσαντες, ἐδέοντο τὴν αὐτὴν
of-him the heads having-pressed begged the same
ἐμοὶ πληροφορίαν λαβεῖν, βεβαιούμενοι πληρώσειν ἑτοίμως
with-me assurance to-receive affirming to-fulfill readily
ὅσα ἐγὼ προκατεῖπον. θᾶττον οὖν ἐκεῖνος πάντα ἃ
as-much-as I said-before quickly then that(-one) all which
παρ᾽ ἡμῶν ἠκηκόει ταῖς τῶν ἄλλων ἐνθέμενος ἀκοαῖς,
from us he-had-heard into-the of-the others having-put ears
καὶ τούτῳ μάλιστα ᾧ κατ᾽ ἀρχὰς ἐγὼ περιέτυχον
and to-this(-one) most to-whom at (the)-beginnings I had-met
ἕκαστα προειπών, λόγον τε πείσας ἔνορκον ἡμῖν
each(-thing) having-said-beforehand word both having-persuaded sworn to-us
παρασχεῖν, οὕτως μηδὲν παρῄνει τοῦ λοιποῦ δεδιέναι.
to-provide thus nothing exhorted for-the future to-fear
Συλλαβόμενοι δὲ ἡμῶν καὶ τοῦ τείχους καταβιβάσαντες, 554
having-seized and us and from-the wall having-brought-down
εἰς μέσους τε αὐτῶν διαλαβόντες, ἦγον τὴν ἐπὶ
into middle both of-them having-taken they-led the(-way) to
θάλασσαν, ἐπάνω τῶν σωμάτων τῶν ἤδη ἀναιρεθέντων
sea above the bodies of-the already slain

βαδίζοντες. τῆς οὖν εἴσω πόλεως τὴν πύλην ἐμβάντες οὐ
walking of-the then inner city the gate having-entered not
κατευθὺ τὴν πορείαν ἐποιούμεθα, ἀλλὰ τῷ ὑπτιάζοντι μέρει
straight the journey we-made but to-the sloping part
τραπέντες τοῦ ἐκεῖσε βουνοῦ πρὸς τὸ κάταντες ἐφερόμεθα.
having-turned of-the there hill to the slope we-were-borne
ἔνθα καί τινες ἄλλοι κατεφάνησαν ἀνιόντες Αἰθίοπες, καὶ
where also some other appeared coming-up Ethiopians also
αὐτοὶ μαχαίρας κατέχοντες ταῖς χερσίν, οἱ καὶ μέσον
themselves swords holding in-the hands the(-ones) also middle
τῶν ἤδη χειρωσαμένων διειλημμένους ἑωρακότες ἡμᾶς
of-the(-ones) already having-subdued(-us) taken having-seen us
τῇ φυσικῇ μανίᾳ πληγέντες ὥρμησαν ἀναιδῶς, πόρρωθεν
by-the natural frenzy struck rushed shamelessly from-afar
δεικνύμενοι τοῦ κινοῦντος θυμοῦ τὴν ἐπίτασιν. ἀλλ' ἐπειδὴ
showing of-the moving anger the intensity but since
καθ' ἡμᾶς γεγονότες ἔγνων μηδὲν ἡμῖν ἐπενεχθῆναι δεινὸν
at us having-come they-knew nothing to-us to-be-brought-on terrible
τοὺς ἤδη προειληφότας σπουδάζοντας, ἐν ἑαυτοῖς
the(-ones) already having-taken(-us) being-zealous among themselves
σκεδασθέντες ὑπανεχώρησαν. εἷς δέ τις αὐτῶν ἀναιδέστερος
scattered they-withdrew one and some of-them more-shameless
τῶν ἄλλων ὡς εἰκὸς καὶ θρασύτερος, ὡς εἴ τις ὑλακτικὸς
than-the others as likely and bolder as if some barking
κύων μεμηνὼς κατηκολούθει, καί τινα πλῆξαι τῇ
dog mad followed and some(-one) to-strike with-the
μαχαίρᾳ δολερῶς ἐτεκταίνετο. ἕνα γάρ τινα τῶν
sword deceitfully contrived one for some of-the(-ones)
ἑλόντων ἡμᾶς ἑαυτὸν εἶναι προσποιησάμενος ἔλαθεν,
having-taken us himself to-be having-pretended he-escaped-notice
οὐκ οἶδ' ὅπως, ὑποσύρων τῶν ἄλλων ἐμέ, καὶ μικρὸν
not I-know how drawing-away from-the others me and a-little

ἀποστὰς ἀνελεῖν ἐπεχείρει. ἀνώμωξα οὖν εὐθύς· ὁ δὲ
having-stood-off to-kill attempted I-cried-out then at-once the and
πατὴρ ὁ ἐμὸς τεταραγμένος συστραφεὶς (καὶ γὰρ ἔτυχον
father the my disturbed having-turned and for I-happened
σὺν αὐτῷ βαδίζων) ὡς τῷ θανάτῳ με παρεστῶτα κατεῖδε
with him walking when at-the death me standing he-saw
καὶ τὸν δήμιον βρύχοντα μέλλοντά τε τὸ ξίφος τῷ
and the executioner roaring about both the sword in-the
τραχήλῳ μου βάπτειν, κατέχοντα τῶν τριχῶν, τὸν ἤδη
neck my to-dip holding of-the hair the(-one) already
περισωσάμενον ἡμᾶς τοῦ πρώην κινδύνου ἐγγύθεν ὄντα
having-saved us from-the earlier danger near being
τῇ χειρὶ νύξας, καὶ σπουδῇ τὸ δρᾶμα καθυποδείξας,
with-the hand having-nudged and with-haste the deed having-pointed-out
"τί ὅτι" ἔφη "καὶ δι' ἣν αἰτίαν τοῦ ἐμοῦ παιδὸς
why that he-said and for what cause of-the my child
κατεψηφίσασθε θάνατον, τῶν πρὸς ἡμᾶς ἀλογήσαντες
did-you-condemn death of-the to us having-disregarded
ὑποσχέσεων; εἰ οὖν αὐτὸς θάνοι, οὐδ' ἡμῖν λυσιτελής
promises if then he should-die not-even for-us profitable
ἐστιν ἡ ζωή. ἀλλ' ἐξελοῦ τοῦτον τοῦ κατέχοντος, εἴ
is the life but take this(-one) from-the(-one) holding if
τις καὶ περὶ ἡμῶν σοι φροντίς· εἰ δὲ μή, τῷ ἐκείνου
any also about us to-you care if and not with-the of-that(-one)
λύθρῳ σπεῖσον καὶ ἡμᾶς. οὐδὲ γὰρ διῃρημένην φέρομεν ἐξ
gore pour also us not-even for divided we-bear from
ἀλλήλων ὑπομεῖναι τὴν τελευτήν." εὐθὺς οὖν θορυβηθέντα
one-another to-undergo the end at-once then having-been-disturbed
ἐπὶ τούτοις ἀναδραμεῖν τὸν ἄνθρωπον, καὶ ἐπιστάντα τῷ
at these(-things) to-run-up the man and having-come-up to-the
τόπῳ τὴν δεξιὰν κατασχεῖν τοῦ βαρβάρου τεταμένην οὖσαν
place the right to-hold of-the barbarian stretched being

καὶ τὴν σφαγὴν σχηματίζουσαν. ὃς καὶ ἐπισχεθείς, ὡς μὴ
and the slaughter shaping who also having-been-checked as not
δυνηθεὶς τὸ δοκοῦν ἐκτελέσαι, πρὸς πλείονα ἐξῆπτο θυμόν·
having-been-able the resolved to-accomplish to more was-kindled anger
καὶ φρίξας τὰς σιαγόνας τούς τε ὀφθαλμοὺς στρεβλώσας
and having-bristled the jaws the both eyes having-twisted
καὶ τοὺς ὀδόντας κροτήσας (τοῦτο γὰρ βαρβάρων ἔθος),
and the teeth having-clattered this for of-barbarians custom
φόνιόν τι καὶ βλοσυρὸν ἐνιδών, ἐπεχείρει τοῦ
murderous something and grim having-looked attempted from-the(-one)
κατέχοντος ἑαυτὸν ἀπορρῆξαι καὶ αὖθίς μοι ἐπελθεῖν.
holding himself to-break-away and again on-me to-come
οὐκ εἴα δὲ τοῦτον ἐκεῖνος ὁ πρὸς θεοῦ πεμφθεὶς ἡμῖν ἐν
not allowed and this(-one) that(-one) the from God sent to-us in
καιρῷ σωτήρ, ἀλλὰ πάσαις αὐτὸν κολακείαις μετατρέπειν
season savior but with-all him flatteries to-turn-aside
ἐμηχανᾶτο. ὡς δ' οὐδὲν ἤνυτο τούτοις πλέον
contrived as and nothing was-accomplished by-these more
αὐτῷ, μᾶλλον ἐκείνου τῷ θυμῷ διεγειρομένου καὶ φόνον
for-him rather that(-one) in-the anger being-roused and murder
ἐρευγομένου, ὡς καὶ λαθεῖν αὐτὸν ἅπαξ κατὰ τοῦ νώτου
belching so-as even to-escape-notice him once on the back
μου τὴν μάχαιραν αἴφνης κατενεγκεῖν καὶ πλῆξαι πληγὴν
my the sword suddenly to-bring-down and to-strike blow
μανίας πλήρη, τὴν καὶ μέχρι νῦν δεικνῦσαν τῆς δεξιᾶς
of-frenzy full the(-one) also until now showing of-the right(-hand)
τὴν ἐπίτασιν, ἀθρόον πρὸς τὸ ὀργιλώτερον ἑαυτὸν ἀλλοιώσας
the intensity at-once to the more-wrathful himself having-changed
ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ καὶ τὸν Αἰθίοπα στερρῶς
the wonderful that man and the Ethiopian stoutly
ὠθίσας, ἐμέ τε συναρπάσας ἤδη παρὰ πόδας ἑστῶτα
having-shoved me both having-snatched-up already at feet standing

καὶ τῷ τῆς ὠτειλῆς περιρρεόμενον αἵματι, δρομαίως τὸ
and with-the of-the wound streaming blood at-a-run the
τάχος πρὸς τοὺς ἑταίρους ἐχώρει. ὡς οὖν μετὰ τοῦ πλήθους
quickness to the companions went as then with the multitude
γενόμενος καὶ αὖθις ἐγώ, καὶ τόδε τὸ κακὸν διαδράς, τὴν
having-come and again I also this the evil having-escaped the
εὐχαριστίαν πρὸς τὸν θεὸν ἐποιούμην, λαβόμενός τε σχολῆς
thanksgiving to — God I-made having-taken both leisure
τὴν τοῦ νώτου πληγὴν κατενόουν, αἰφνιδίως πάλιν δευτέρας
the of-the back blow I-was-considering suddenly again of-second
πληγῆς ἐπῃσθόμην, πλέον ἢ πρότερον ὀδύναις βληθείς. ὁ
blow I-perceived more than before by-pains struck the
δὲ τολμηρὸς ἐκεῖνος, οὐκ οἶδ' ὅθεν ἐπιστάς, ὤθισέ μοι
and daring that(-one) not I-know whence having-come-up thrust me
κατὰ πλευρὰν ἐκ τῆς ὀπίσω τὸ ξίφος, δεινὸν ἀλαλάξας
at side from the(-rear) behind the sword terribly having-shrieked
καὶ τὸ ἀκάθεκτον τοῦ τρόπου τῇ φωνῇ παραστήσας. ὡς
and the unrestrained of-the manner by-the voice having-set-forth as
εἰπεῖν συνόντι μοι τῷ ὑπερμαχοῦντι ἀνδρὶ "τίνος χάριν
to-say being-with me to-the championing man of-what for-the-sake-of
τῆς ἐμῆς μόνης ζωῆς ἠφειδήσατε, καὶ τῷ βαρβάρῳ"
of-the my alone life did-you-spare and to-the barbarian
συστραφεὶς καὶ τὸν Αἰθίοπα δείξας "πρὸς θάνατον
having-turned and the Ethiopian having-shown to death
ἐκδεδώκατε; τοῦτο γνόντες ἔστε, ὡς εἰ μὲν κοινῇ πάντες,
you-have-given-up this having-known be that if indeed in-common all
οὓς τοῖς ὅρκοις ἐβεβαιώσασθε, τὸν θάνατον διαφύγοιμεν,
whom by-the oaths you-confirmed the death we-should-escape
πέρας λάβοι καὶ ἅπερ ἡμεῖς ὑπεσχόμεθα, εἰ δ' ἑνί γέ
end may-take also what we promised if and to-one indeed
τινι τύχοι δι' ἀμέλειαν ἐπιστὰς θάνατος, πάντες
some(-one) should-happen through neglect having-come-upon death all

τῷ ἐκείνου πτώματι τὴν ζωὴν συμπεραίνομεν, καὶ οὐδενὸς
by-the of-that(-one) fall the life we-end and of-nothing
ὑμεῖς τῶν ἐλπιζομένων ἐντεύξεσθε. ἀλλ' εἴπερ μὴ
you of-the(-things) hoped-for will-obtain but if-indeed not
πρὸς ἀπάτην ἀλλ' ἀληθὴς γέγονεν ὁ διὰ μέσου προτεθεὶς
for deceit but true has-been the through middle set-forth
ὅρκος, πάσῃ μηχανῇ τὸ ἀσφαλὲς ἡμῖν συντηρήσατε, καὶ
oath by-every device the safety for-us keep and
εὖ ἴστε πάντα καὶ ἡμᾶς πληρώσειν ὅσα πρὸς ὑμᾶς
well know all also us to-fulfill as-much-as with you
συνεθέμεθα." ταῦτα ἐκεῖνος ἀκηκοὼς καὶ τοῖς περὶ
we-agreed these(-things) that(-one) having-heard and to-the(-ones) about
αὐτὸν γνωρίσας ἔπεισε πάντας ἐφορμήσαντας κατὰ
him having-made-known persuaded all having-rushed against
τοῦ δυσμενοῦς μακρὰν αὐτὸν ἀπελάσαι· οἱ δὴ καὶ
the enemy far him to-drive-away who indeed also
κυκλώσαντες ἡμᾶς ἔκτοτε σχολαιοτέρως ἐβάδιζον.
having-encircled us from-then more-leisurely walked
557 Ἤλθομεν δὲ κατά τινα τόπον ἔνθα μονή τις ἔστι
we-came and at some place where monastery some is
παρθένων ἀσκουσῶν γυναικῶν, ἥτις πάλαι τοῦ Ἀκρουλλίου
ἰσαρίθμους Ἀγαρηνούς, πεῖσαί τε τὸν κρατοῦντα τῶν
equal-in-number Hagarenes to-persuade both the(-one) ruling of-the
Ῥωμαίων τὰ σκῆπτρα μηδεμίαν περὶ τούτου ἀμφιβολίαν
Romans the scepters no about this doubt
ἔχειν, ἀλλὰ συνθέσθαι ὑφ᾽ ὑμῶν πεπραγμένοις;
to-have but to-agree by you having-been-done
ἢ δεδίττεσθε μὲν τὴν ἐγγύην ὡς μὴ ἐν ὑμῖν κειμένην,
or you-fear indeed the surety as not in you lying
ἄδηλον ὂν εἰ παραδεχθήσεται ὑπ᾽ ἐκείνου ἢ μή, ἐν
unclear being whether it-will-be-accepted by that(-one) or not in
οὐδενὶ δὲ τίθετε τοσοῦτον κακόν, μικρᾶς προθυμίας μέγαν
nothing and set so-great evil of-little zeal great
προξενοῦντες τοῖς ὁμοφύλοις τὸν ὄλεθρον; εἴπατε οὖν
procuring for-the kinsmen the destruction say then
ὁποτέρῳ τούτων στοιχεῖτε, ἵν᾽ ἑνί γε τὴν ψῆφον
with-which-of-the-two of-these you-agree so-that to-one at-least the vote
δῶμεν, ἢ τοῦ ζωῶσαι ἢ τοῦ ἀπαλλάξαι αὐτούς. ὁ οὖν
we-may-give either of-the to-keep-alive or of-the to-release them the then
ῥηθεὶς Συμεών, ἅτε δὴ τῶν ἄλλων προέχων, πρὸς
mentioned Symeon inasmuch-as indeed of-the others excelling to
αὐτὸν ἔφη "ἐγὼ ταύτην τὴν ἐγγύην μόνος κατεγγυῶμαι,
him said I this the surety alone pledge
σαφῶς εἰδὼς τὸ περὶ πάντα φιλάνθρωπον τοῦ καθ᾽ ἡμᾶς
clearly knowing the in all humane of-the among us
αὐτοκράτορος, καὶ ὡς δίχα λόγου παντὸς παρέξεται τούτων
autocrat and that without account all he-will-provide these
ἕνεκεν, ἐξ ὧν ἔχει δεσμίων Ἀγαρηνῶν, τοσούτους
for-the-sake-of from what he-has prisoners Hagarenes so-many
ὅσοι καὶ οὗτοι τυγχάνουσιν ὄντες· οὓς καὶ αὐτὸς ἐγὼ
as-many-as also these happen being whom also myself I

τῇ Ταρσῷ διακομίσω, ἵν' ἐπ' ἐμοὶ πάλιν τὰ περὶ
— *to-Tarsus will-convey so-that in me again the(-things) about*
τῆς ἐγγύης λυθῇ, καὶ μηδὲν ἔχῃς κατ' ἐμοῦ προφέρειν,
the surety be-dissolved and nothing you-have against me to-allege
ἐπὰν τὴν ὀφειλὴν ἐκπληρώσω. μόνον τύχωσι κἂν οὗτοί
when the debt I-fulfill only let-them-obtain even these
τινος σωτηρίας, ἵνα συλλέξαντες ταφῇ δῶσι τῶν
some safety so-that having-gathered to-burial they-may-give of-the
ἀποιχομένων τὰ σώματα, ἃ διὰ πάσης τῆς πόλεως
departed the bodies which through all the city
κείμενα καὶ αὐτὸν τὸν ἀέρα πρὸς θρῆνον ἐφέλκεται."
lying also itself the air to lament draw
ταῦτα ἀκούσας ὁ κακοήθης ἐκεῖνος, ἔγγραφόν τε
these(-things) having-heard the malicious that(-one) in-writing both
πείσας τὸν αὐτὸν Συμεὼν καὶ ἐνώμοτον παρασχεῖν
having-persuaded the same Symeon and sworn to-provide
τὸν περὶ τῶν συνθηκῶν τούτων λόγον, ἀπολυθῆναι πάντας
the about the agreements these word to-be-released all
ἐκείνους τοὺς ἐξ ἡμῶν περιττεύσαντας ἄνδρας ἐπέτρεψεν.
those the of us having-been-left-over men he-allowed
576 Ἐπειδὴ δὲ τὰ περὶ τούτου καλῶς εἶχεν αὐτῷ καὶ ἐν
since and the(-things) about this well were for-him and in
ἀσφαλείᾳ ἦν τὸ πανούργευμα, ἕτερον πάλιν οὐκ ἔλαττον
safety was the villainy another again not less
τούτου τῇ δολιότητι τῶν φρενῶν ἐπενόησε. πυρποληθῆναι
than-this in-the deceitfulness of-the mind he-devised to-be-burned
γὰρ ἅπασαν τὴν πόλιν προσέταττεν, ἵν' ᾖ καὶ
for all the city he-ordered so-that might-be also
τοῦτο αὐτῷ οὐ τὸ τυχὸν παρεμπόρευμα· ἤδει γὰρ ὡς
this for-him not the chance side-trade he-knew for that
οἱ τοὺς αἰχμαλώτους ὠνούμενοι οὐδὲ τοῦτο πράττειν
the(-ones) the captives buying not-even this to-do

αὐτὸν ἐξ ἀνάγκης ἀνάσχοιντο, αἱρούμενοι μᾶλλον αὐτοὺς
him from necessity would-endure choosing rather themselves
ἐκείνους καταπρησθῆναι ἢ τοιοῦτόν τι κἂν ἀκοῇ
those to-be-burned-up than such anything even by-hearing
παραδέξασθαι. μήπω γὰρ τῶν βαρβάρων διὰ μέσου
to-admit not-yet for the barbarians through middle
τῆς πόλεως τὴν φλόγα διασπειράντων, ἀλλ' ἔτι τὰς
of-the city the flame having-spread but still the
πλησιαζούσας τῇ θαλάσσῃ πυρπολούντων οἰκίας, μόνον ὅτι
near the sea burning houses only that
πρὸς τὸ καταβάλλειν τὰς ὑπὲρ τῆς πόλεως τιμὰς οἱ
for the to-pay the for the city prices the(-ones)
παρόντες πρὸς ἀλλήλους ἐκύρωσαν, καὶ πάλιν πρόσταγμα
present with one-another ratified and again order
πανταχοῦ διεπέμπετο παύεσθαι τῆς οἰκείας συνεργίας τὸ
everywhere was-sent-round to-cease from-the own cooperation the
πῦρ, ὡς εἰς χρηστὸν αὐτῷ πέρας καὶ ταύτης προελθούσης
fire as to good for-him end also this having-come-forth
τῆς ἐπινοίας. οἱ γὰρ ἄνδρες ἐκεῖνοι σὺν τῷ ῥηθέντι Συμεών,
the device the for men those with the mentioned Symeon
μὴ ἔχοντες ἄλλοθέν ποθεν καταβάλλεσθαι τὴν περὶ
not having from-elsewhere anywhere to-be-paid the about
τούτου ποσότητα, τὰ δύο ὑπέσχοντο τοῦ χρυσίου τάλαντα
this amount the two promised of-the gold talents
ἅπερ ἦν ὁ θανὼν ἐκ τῶν ῥοπάλων εὐνοῦχος πρὸς τὸν
which was the having-died from the clubs eunuch to the
Στρυμόνα ἐξαποστείλας· ἃ καὶ θᾶττον ἀγαγόντες διά
Strymon having-sent-off which also quickly having-brought through
τινων ταχυδρόμων ὅθεν ἐκρύπτοντο, καὶ τοῖς βαρβάροις
some couriers whence they-were-hidden and to-the barbarians
ἐναριθμήσαντες, οὕτως τὴν πόλιν τῆς πυρκαϊᾶς ἐσώσαντο.
having-counted-out thus the city from-the conflagration saved

Ἀλλ᾽ ὅτε δὴ καὶ τοῦτο πέρας εἰλήφει, καὶ οὐκ
but when indeed also this end had-taken and not
ἐνέλιπεν οὐδὲν ὧ τοῖς ἀκορέστοις ἐκείνοις ὀφθαλμοῖς
was-lacking nothing which to-the insatiable those eyes
ὑπόθεσις χρυσίου μὴ ἐγεγόνει, ἔδει δὲ μὴ ἐπὶ πολὺ
occasion of-gold not had-become it-was-needful and not for much
καρτερεῖν τῷ τόπῳ, ἀλλὰ φροντίζειν καὶ τῶν κατὰ
to-persist in-the place but to-take-care also of-the at
τὸν πλοῦν συμπτωμάτων μᾶλλον τῷ καιρῷ τούτῳ
the voyage mishaps rather at-the season this
τοῖς πλωτῆρσιν ἐγγινομένων, τότε δὴ περὶ μεσημβρίαν
to-the sailors occurring then indeed about midday
ὄντος τοῦ ἡλίου τῇ δεκάτῃ τῆς ἁλώσεως ἡμέρᾳ τοῦ
being the sun on-the tenth of-the capture day from-the
λιμένος ἐξωρμήσαμεν καὶ πρὸς τὴν ῥηθεῖσαν Ῥωμαίων
harbor we-set-out and to the mentioned of-Romans
πύλην μετήχθημεν, τὸ λοιπὸν ἐκεῖσε τελέσοντες τῆς
gate were-transferred the rest there going-to-finish of-the
ἡμέρας. ἦμεν οὖν ἡμεῖς οἱ πέντε, καθὼς ἐχειρώθημεν,
day we-were then we the five as we-were-subdued
εἴς τινα ναῦν τοῦ ἀρχηγοῦ τοῦ κατ᾽ Αἴγυπτον στόλου,
into some ship of-the leader of-the of Egypt fleet
οὗ καὶ προσδεηθεὶς ἦν ὁ ἐμὸς πατὴρ διά τινος
whom also having-besought was the my father through some
ἑρμηνέως (οὐδὲ γὰρ ἤδει λαλεῖν καθ᾽ ἡμᾶς) προστάξαι
interpreter not-even for he-knew to-speak in our(-way) to-order
τοῖς ὑπ᾽ αὐτὸν δορυφόροις ἀγαγεῖν ὅθεν ἂν ἦσαν
to-the under him guards to-bring whence — they-were
διασπαρέντες οἱ κατὰ συγγένειαν ἡμῖν πλησιάζοντες.
scattered the(-ones) by kinship to-us being-near
ὃ δὴ καὶ παρὰ μικρὸν ἐτελεῖτο ἄν, εἰ
which indeed also by little would-have-been-accomplished — if

μὴ κἂν τούτῳ παρεμποδὼν γέγονε τὸ πλῆθος τῶν
not even-in this hindrance had-become the multitude of-the
ἡμετέρων κακῶν, καὶ πρὸς τὴν ἔρευναν ἀποκνῆσαι
our evils and for the search to-shrink
τοὺς ἀπεσταλμένους πεποίηκε. τὴν γὰρ μητέρα τὴν
the(-ones) sent made the for mother the
ἐμὴν καὶ τῶν ἄλλων ἀδελφῶν ἕνα, τῶν μὴ κατ᾽
my and of-the other brothers one of-the(-ones) not at
ἀρχὰς μεθ᾽ ἡμῶν ληφθέντων, ἔτι δὲ καὶ τὴν
(the)-beginnings with us taken still and also the
τοῦ ἀδελφοῦ γαμετὴν τὸ τάχος, ὅθεν ὑπῆρχον, πρὸς
of-the brother wife the quickness whence they-were to
ἡμᾶς ἠγάγοντο· τὴν ὁμόζυγα δὲ τὴν ἐμὴν σὺν τρισὶ
us they-brought the spouse and the my with three
νηπίοις καὶ τὴν ὑποβεβηκυῖαν κατὰ τὴν γέννησιν ἡμῶν
infants and the having-come-below in the birth of-us
ἀδελφὴν μετὰ καὶ ἄλλου πλήθους τῶν προσηκόντων
sister with also other multitude of-the(-ones) related
οὔτε ἀνευρεῖν ἠθέλησαν, οὔτε δὲ ἀνευρόντες ἴσως
neither to-find they-wished nor and having-found perhaps
ἀγαγεῖν πρὸς ἡμᾶς ἠβουλήθησαν, ἀλλ᾽ ἦσαν ἄλλος
to-bring to us they-willed but they-were other(-one)
ἀλλαχῇ τῷ κοινῷ πλήθει καὶ ταῖς νιφάσι τῆς ἐξ
elsewhere in-the common multitude and by-the snowstorms of-the from
ἡμῶν βαλλόμενοι διαιρέσεως. ὅμως ἐκαρτεροῦμεν ὡς
us being-struck separation nevertheless we-endured as
ἐν δεινοῖς καὶ τὴν ἐξ ἀλλήλων κατατομήν, εἰ
in terrible(-things) also the from one-another cutting-off if
καὶ ὅτι παντὸς ἀνιαροῦ πεῖραν τὰ καθ᾽ ἡμᾶς
also that of-every grief trial the(-things) concerning us
ὑπερέβαλλεν.
surpassed

578 Ἤδη δὲ τοῦ πλοὸς ἄρχεσθαι μέλλουσι στρέβλας τινὰς
already and of-the voyage to-begin being-about fetters some
τοῖς ποσὶ πᾶσιν ἡμῖν ἐπιθέντες οἱ βάρβαροι, οὕτως καθ᾽
on-the feet on-all us having-put the barbarians thus one-by
ἕνα ταῖς ναυσὶν ὥσπερ ἄψυχόν τινα διεστοίβασαν ὕλην,
one in-the ships as-if lifeless some piled material
μὴ ἐνδιδόντες κἂν ἐλεύθερον ἀναπνεῖν τὸν ἀέρα, ἀλλὰ
not allowing even free to-breathe the air but
καὶ τοῦτον τῇ συνεχείᾳ τοῦ πνιγμοῦ συναπείργοντες.
also this by-the continuity of-the suffocation shutting-off-with
οὕτω γὰρ ἡμᾶς ἐν ἀλλήλοις ἐπισυνῆψαν ὡς ἓν
thus for us on one-another they-joined so-that one
ἀδιάσπαστον ὁρᾶσθαι σῶμα τὴν πληθὺν ἅπασαν, μηδ᾽
unbroken to-be-seen body the multitude all not-even
ὅλως διισταμένην ἢ ἀπερρηγμένην τῆς συνεχοῦς ἐκείνης
at-all standing-apart or broken-off from-the continuous that
πιλήσεως. ἀλλ᾽ ἐπειδὴ κατὰ δύσιν ὁ ἥλιος ἦν καὶ πρὸς
pressing but since at setting the sun was and to
τὸν νυκτερινὸν γνόφον ἔληγε τὸ φῶς τῆς ἡμέρας,
the nocturnal darkness was-ceasing the light of-the day
ἐπινίκιόν τι μέλος τοῖς τε κυμβάλοις καὶ τυμπάνοις
victory some song on-the both cymbals and drums
ἀποχρουσάμενοι, καὶ τὸν ὑπὲρ κεφαλὰς ἀέρα ταῖς
having-struck-out and the over heads air with-the
διὰ τῶν ξιφῶν ῥιπίσεσι περιαστράψαντες, οὕτως μετὰ
through the swords brandishings having-flashed-round thus after
βαθεῖαν ἑσπέραν ἄσημόν τινα καὶ τραχὺν ἀλαλαγμὸν
deep evening indistinct some and harsh war-cry
ἐπαφέντες καὶ τὰς ἀγκύρας τῶν νηῶν ἀνασπάσαντες
having-let-loose and the anchors of-the ships having-hauled-up
τῆς γῆς ἀπεδίδρασκον. ἦν δὲ ἀκούειν ὅπως
from-the land ran-off it-was-possible and to-hear how

ἡσυχῇ μόνον τὸ πλῆθος κατεστενάζομεν τῆς πατρίδος,
quietly only the multitude we-bewailed of-the fatherland
καί πού τινα πρὸς τὸν θεὸν ἐν τῷ ἀφανεῖ τῆς
and somewhere some to — God in the(-part) hidden of-the
ψυχῆς ἕκαστος ἡμῶν ἠφίει φωνήν, ὅσοις ἂν αὐτὸς
soul each of-us let-go voice with-as-many-as — he
βούλοιτο, παιδευτικοῖς πειρασμοῖς ὁμιλήσαντας καὶ πάλιν
should-wish instructive trials having-consorted also again
ἀποδοθῆναι τῇ θρεψαμένῃ, καὶ μὴ εἰς τέλος
to-be-given-back to-the(-land) having-nourished(-us) and not to end
ἐγκαταλειφθέντας ἀνέλπιστον ἔχειν τὴν ἐκ τῶν λυπούντων
having-been-forsaken hopeless to-have the from the grieving(-things)
ἀπαλλαγήν.
release

Ὡς δὲ τοῦ πλεῖν ἤδη πρὸς ὄρθρον οὔσης τῆς νυκτὸς
as and of-the to-sail already toward dawn being the night
ἀπηρξάμεθα, εἶχε μὲν ἡμᾶς καὶ ἄλλων δυσχερῶν
we-began held indeed us also of-other hardships
ἀνάγκη πολλῶν, τοῦ λιμοῦ, τῆς δίψης, τῆς συνεχείας
necessity of-many of-the hunger of-the thirst of-the crowding
ὁ ὑπωπιασμὸς (καὶ γὰρ κατὰ μόνην τὴν ναῦν ἔνθα
the bruising and for on only the ship where
ἦμεν ἡμεῖς ὀκτακοσίων αἰχμαλώτων ψυχῶν ἀριθμὸς
we-were we of-eight-hundred captive souls number
ἦν, δίχα τῶν ἐν αὐτῇ βαρβάρων, διακοσίων καὶ
was apart-from the in it barbarians two-hundred also
αὐτῶν ὄντων), πρὸς τούτοις δὲ καὶ τῶν κομιδῇ
themselves being besides these and also of-the quite
νηπίων ἡ ἐλεεινὴ βοὴ μηδαμῶς δυναμένων φέρειν τῶν
infants the pitiable cry in-no-way being-able to-bear of-the
μοχθηρῶν τὴν ἐπίτασιν, ἀλλ᾽ οὐδὲν ἢ θάνατον αὐτοῖς
miseries the intensity but nothing than death for-them

ἐπισπεύδουσαν ἄωρον. πλείω δὲ πάντων ἡ κατὰ τὴν
hastening untimely more and than-all the at the
γαστέρα χρεία, ἧς οὐκ ἦν μηδεμίαν μέθοδον
belly need of-which not it-was-possible any method
ἐφευρεῖν, τῆς φυσικῆς ἀνάγκης κατεπειγούσης πρὸς
to-find the natural necessity pressing for
τὴν διέξοδον· τὴν γὰρ αἰδῶ τοῦ πράγματος πολλοὶ
the outlet the for shame of-the matter many
προτιμῶντες καὶ καρτερεῖν τὴν βίαν μὴ σθένοντες
preferring and to-endure the force not having-strength
συχνῶς ἐκινδύνευσαν. πλὴν τῆς ἡμέρας ἀρχομένης
often were-in-danger but the day beginning
τὸν ἀγκῶνα παραπλεύσαντες τοῦ ῥηθέντος Ἐκβόλου,
the elbow having-sailed-past of-the mentioned Ekbolos
ἀνήχθημεν περὶ δείλην βαθεῖαν εἴς τινα τόπον Βολβὸν
we-put-to-sea about evening deep to some place Bolbos
καλούμενον, ἔνθα τινὲς ἱππεῖς ἐφάνησαν ἀπὸ τῆς γῆς
called where some horsemen appeared from the land
ἐρχόμενοι πρὸς ἡμᾶς. οὗτοι δὲ ἦσαν οἱ καὶ πρῴην
coming to us these and were the(-ones) also earlier
ἐν τῇ πόλει παραγενόμενοι, ῥητάς τινας γυναῖκας
in the city having-arrived certain some women
ὠνήσασθαι θέλοντες, ἃς τὸ τάχος οἱ βάρβαροι τῶν
to-buy wishing whom the quickness the barbarians from-the
νηῶν ἐξενεγκόντες ἀπέδοντο, πολὺ χρυσίον ὑπὲρ αὐτῶν
ships having-brought-out sold much gold for them
κομισάμενοι.
having-received

579 Ἐκεῖθεν δὲ πάλιν ἀναχθέντες κατήραμεν περὶ τὰ τέλη τῆς
from-there and again having-put-to-sea we-put-in about the ends of-the
νήσου τῆς καλουμένης Παλλήνης· καί τι μικρὸν ἐκεῖσε
island of-the called Pallene and some little there

καθησυχήσαντες, τοῦ πνεύματος ἐπιτηδείου ὑπάρχοντος
having-rested the wind favorable being
καὶ αὖθις πρὸς ἑσπέραν ἐσπάσθησαν τὰ ἱστία, ἃ καὶ
and again toward evening were-drawn the sails which also
διαπρησθέντα τῇ σφοδροτάτῃ ῥύμῃ τοῦ πνεύματος
having-been-blown-out by-the most-violent rush of-the wind
ἦγον ἡμᾶς φερομένους βιαίως, ἕως τῆς ἐφεξῆς κατ᾽
led us being-borne violently until the next at
ἀρχὰς ἡμέρας εὑρέθημεν εἴς τινα τόπον Διαδρόμους
(the)-beginnings day we-were-found at some place Diadromoi
παρὰ τῶν ναυτιλλομένων ὀνομαζόμενον, δύο μὲν ἔχοντα
by the seafarers named two indeed having
νήσους ἀμφιμήκεις ἐξ ἐναντίας ἀλλήλων, μέσον δὲ
islands oblong from opposite one-another middle and
τούτων ποταμοῦ δίκην τὴν θάλασσαν παραθέουσαν καὶ
of-these of-river like the sea running-along and
τὰς νήσους ὡς ἀπὸ σταδίου καὶ μόνον ἐξ ἀλλήλων
the islands as from stade and only from one-another
διείργουσαν. ἔνθα δὴ καὶ γενόμενοι νηός τινος δυστυχοῦς
separating where indeed also having-come ship some unfortunate
σίτου πεφορτισμένης περιετύχομεν, καὶ οὕτως ἀθρόον
with-grain laden we-fell-in-with and thus suddenly
ὡς μηδὲ δυνηθῆναι τῷ αἰφνιδίῳ τῆς συμβάσεως τοὺς
as not-even to-be-able by-the suddenness of-the event the(-ones)
ἐν αὐτῇ σωτηρίας ἐχόμενόν τι προσεξευρεῖν. εἰ γὰρ
in it of-safety holding something to-find-besides if for
καὶ ἔδοξαν πρὸς τὴν παρακειμένην νῆσον τὴν ναῦν
even they-resolved to the lying-near island the ship
ἐποκεῖλαι καὶ πρὸς φυγὴν ἐκτραπῆναι, ἀλλ᾽ οὐδὲν ἐκ
to-run-aground and to flight to-turn but nothing from
τούτου ἀπώναντο· θᾶττον γὰρ αὐτοὺς ἐξελθόντες οἱ
this they-profited quicker for them having-gone-out the

βάρβαροι συνελέξαντο, καὶ χωρὶς ἑνὸς μόνου πάντας
barbarians collected and apart-from one only all
πρὸς θάνατον ὑπηγάγοντο.
to death led-away

X · THE VOYAGE AND CRETE

The fleet wanders among the islands for fear of the Roman navy, and at Patmos they suffer six days of thirst and rotten bread, and lice and blows all voyage; the dead are thrown into the sea. At Naxos the tributaries of Crete bring gifts, and at Crete the barbarians unload their spoils and divide the captives. Mothers search for their children, and then the barbarians divide again those who had found their kin, sending each to a slavery where the faith is outraged.

580 Ἐκεῖθεν δὲ πάλιν ἀπάραντες ἐπὶ δυσὶ νυχθημέροις τὴν
from-there and again having-set-sail for two night-and-days the
μεγάλην νῆσον παρεπλέομεν τῆς Εὐβοίας, καὶ κατὰ
great island we-sailed-past — of-Euboea and at
τοῦ βορειοτέρου ταύτης πελάγους ἰθύναντες τὰ ἱστία,
the more-northern of-it sea having-directed the sails
τὰ παρὰ πόδας τῆς Ἄνδρου μετά τινος σφοδροτάτου
the(-parts) at foot — of-Andros with some most-violent
ῥοιζήματος κατελάβομεν. οὐ γὰρ ἐποιούμεθα κατ᾽ εὐθεῖαν
rushing we-reached not for we-made in straight(-line)
τὸν πλοῦν, οὐδὲ κατά τινος ὡρισμένου τόπου, ἀλλ᾽ ὡς
the voyage nor to some fixed place but as
ἂν ἔδοξε τοῖς τῶν νηῶν ἀρχηγοῖς, τῇδε κἀκεῖσε
— it-seemed-good to-the of-the ships leaders here and-there
τὰς μεταβάσεις καὶ ἀντιστροφὰς ἐποιούμεθα. καὶ γὰρ
the crossings and turnings-back we-made and for
ἐδεδίεσαν μή που τύχοι παρὼν ὁ τῶν Ῥωμαίων
they-feared lest somewhere should-happen being-present the of-the Romans

στόλος, καὶ λάθοι κατ᾽ αὐτῶν ἐπίνοιάν τινα μοχθηρὰν
fleet and might-unawares against them device some wicked
ἐργασάμενος. διὰ τοῦτο ἄλλοτε ἄλλας νήσους καθάπερ
having-worked because-of this at-one-time other islands like
τινὲς πλανῆται περιηρχόμεθα.
some wanderers we-went-round
Οὕτω δὲ φερόμενοι κατηντήσαμεν εἴς τινα νῆσον Πάτμιον
thus and being-borne we-arrived at some island Patmos
καλούμενον· ἔνθα δὴ καὶ προσεμείναμεν ἓξ ἡμέρας,
called where indeed also we-stayed six days
παντὸς χαλεποῦ πεῖραν ἐν αὐτῇ καθυπομένοντες. ἀνύδρου
of-every hardship trial in it undergoing waterless
γὰρ ὄντος τοῦ τόπου ἐληΐζετο τοὺς αἰχμαλώτους ἡ δίψα.
for being the place plundered the captives the thirst
οὐ γὰρ ἐδίδοτο ἡμῖν ὕδωρ ὅσον πρὸς σύστασιν τῆς
not for was-given to-us water as-much-as for sustaining of-the
ζωῆς ἐπήρκει, ἀλλ᾽ ὅσον ἐμβραδύνειν ἐποίει καίπερ
life sufficed but as-much-as to-linger made although
παρόντα τὸν θάνατον· οὗπερ ὁ μετέχων, εἰ μὴ τὴν
being-present the death of-which the(-one) partaking if not the
ὄσφρησιν κατὰ τὴν γεῦσιν ἐπεῖχεν ὡς μὴ κατ᾽ ἀρχὰς
smell during the tasting he-held-back so-as not at (the)-beginnings
τῆς αὐτοῦ δυσωδίας ἐπαισθανθῆναι, οὐδ᾽ ὅλως τούτου
of-the its stench to-perceive not-even at-all of-this
παρεχωρεῖτο μεταλαβεῖν, τῆς φύσεως ἀνιωμένης καὶ εἰ
was-allowed to-partake the nature being-distressed and if
μόνον ἀπιδεῖν ἠβουλήθη τοῦτο, καὶ πρὸ τῆς πείρας τῆς
only to-look-at he-wished this even before the trial of-the
καταπόσεως. ἡ τροφὴ δὲ ἡμῶν ἄρτου τρύφος ἦν μόνον,
swallowing the food and of-us of-bread crumb was only
καὶ τοῦτο διεφθορός, κατάλυσιν ἐργαζόμενον. ἃ γὰρ
and this corrupted dissolution working which for

ἔτυχον λαβόντες οἴκοθεν πρὸ πολλῶν ἡμερῶν πρὸς χρείαν
happened having-taken from-home before many days for use
ἑαυτῶν οἱ πολέμιοι, ταῦτα περιττεύσαντα καὶ πρὸς τελείαν
of-themselves the enemies these having-been-left-over and to complete
σηπεδόνα χωρήσαντα, καὶ οἷς οὐκ ἄν τι τῶν ἀλόγων
rottenness having-gone and which not — any of-the irrational(-beasts)
ἐδυνήθη κἂν ἀπιδεῖν, εἰς μετάληψιν ἡμῖν προσεφέροντο,
could even look-at for partaking to-us were-brought
ἀφάτου μὲν δυσωδίας καὶ ἀηδίας πλήρη, μεστὴν δὲ
of-unspeakable indeed stench and disgust full full and
σκωλήκων καὶ πολλῇ σαπρίᾳ συμπεφυρμένην, πρός τε
of-worms and with-much rot kneaded-together for both
τὴν ἕξιν τοῦ σώματος παντελῶς ἀνενέργητον. καὶ γὰρ
the condition of-the body wholly ineffective and for
ἦν εἰκάσαι πλῆθος ἄπειρον ἐκ τούτων ἐφ᾽ ἑκάστης
it-was-possible to-guess multitude endless from these on each
τῆς ἡμέρας τῷ θανάτῳ συνελαυνόμενον, πάρεργον τῆς
the day to-the death being-driven by-product of-the
δίψης καὶ τοῦ λιμοῦ, τά τε σώματα τῶν θνησκόντων
thirst and of-the hunger the both bodies of-the dying
ἀκοντιζόμενα τῆς νηὸς ἐπὶ θάλασσαν, καὶ μέχρι πολλοῦ
hurled from-the ship into sea and for much
τοῖς κύμασιν ἐπισπαίροντα, καὶ τούτων μάλιστα τὰ δείλαια
in-the waves gasping and of-these most the wretched
βρέφη τῷ ἀτελεῖ τῆς φύσεως πλείω τῶν ἄλλων
babies by-the imperfection of-the nature more than-the others
τῶν ἀλγεινῶν ἐμφορούμενα, τοὺς ζῶντας δὲ πάλιν οὐ
of-the painful(-things) taking-their-fill the living and again not
πόρρω τῶν προκειμένων ὑπάρχοντας, ἀλλὰ πρὸς
far from-the(-things) present being but to
τὸ ὅμοιον βλέποντας πέρας. ἐξ ὧν ἁπάντων μᾶλλον
the like looking end from which all rather

ἡμεῖς, ὅσοι ταῖς στρέβλαις ἦμεν πεπεδημένοι, πλείοσι
we as-many-as in-the fetters were bound with-more
βασάνοις προσεπαλαίομεν. καὶ γὰρ θυλάκων ἀψύχων δίκην
tortures wrestled and for of-sacks lifeless like
ταῖς σελλίων ἀλλήλοις ἐπικαθήμενοι, καὶ τοῖς ξύλοις,
on-the seats on-one-another sitting and by-the timbers
οἷς ἐνηρτήμεθα, τιτρωσκόμενοί τε καὶ συνθλιβόμενοι,
to-which we-were-fastened being-wounded both and being-crushed
ἀνεκδιήγητόν τινα καὶ ἄρρητον ὑφιστάμεθα τὴν ἀνάγκην,
indescribable some and unspeakable we-underwent the necessity
οὐδ' ὁπωσοῦν συστραφῆναι ἢ τινος ἑαυτοῖς μεταδοῦναι
not-even in-any-way to-turn or some to-ourselves to-give
σχολῆς συγχωρούμενοι, ἀλλ' ἢ μόνον τὰς κεφαλὰς
leisure being-allowed but than only the heads
ὑψοῦντες μικρόν, εἴ που κἂν ἐλεύθερον ἀέρα ταῖς ῥισὶν
raising little if somewhere even free air with-the nostrils
ἐφελκύσωμεν καὶ μὴ πρὸς παντὸς ἄλλου δεινοῦ τῇ
we-might-draw-in and not before every other terrible(-thing) by-the
τῶν παρόντων ἀναθυμιάσει τὴν πνοὴν ἐπαφήσοιμεν.
of-the(-things) present exhalation the breath we-might-let-go
τὸ δὲ τῶν φθειρῶν πλῆθος ἕτερον ἦν κακὸν ἄφατον·
the and of-the lice multitude other was evil unspeakable
καθάπερ γάρ τις θάνατος ἕρπων, τὴν ἁπάντων ζωὴν
as for some death creeping the of-all life
κατεβόσκοντο, ὡς ἐκ τούτου τὰς μορφὰς πάντων
they-fed-on so-that from this the forms of-all
ἀλλοιωθῆναι, καὶ ἐν ὑποψίᾳ ζώντων, οὐκ ἀληθείᾳ
to-be-changed and in suspicion of-living(-men) not in-truth
λογίζεσθαι. ὅσας δὲ πληγὰς ἠφίεσαν μανικῶς φερόμενοι
to-be-reckoned as-many and blows they-let-go madly being-borne
καθ' ἡμῶν, ἢ ὅσαις λοιδορίαις καὶ ὀνείδεσι καθ'
against us or with-as-many revilings and reproaches on

ἑκάστην ἡμᾶς ἔπλυνον ὥραν, καὶ οἷς ἐφαίνοντο τὴν
each us they-washed hour and with-which they-appeared the
μῆνιν φυλάττοντες τῶν ἡμερῶν τοῦ πολέμου, ποῖος
wrath keeping of-the days of-the war what-sort
μὲν λόγος καθιστορῆσαι δυνήσεται, ποία δὲ ἀκοὴ
indeed speech to-relate will-be-able what-sort and hearing
τὴν τούτου παραδέξασθαι τραγῳδίαν; ἐμοὶ δὲ ἔκστασις
the of-this to-receive tragedy to-me and astonishment
ἐπεισέρχεται, ὁσάκις εἰς ἔννοιαν ἔλθω μόνον τῶν ἀμετρήτων
comes-in as-often-as into thought I-come only of-the measureless
κακῶν ἐκείνων ὧν κατὰ πᾶσαν τὴν περίοδον τοῦ πλοὸς
evils those which during all the circuit of-the voyage
ὑπεμείναμεν, πῶς ἐκαρτερήσαμεν ἐνέγκαι τοσαύτην πολυειδῆ
we-endured how we-endured to-bear so-great many-formed
συμφορὰν ἀνθρώπεια σώματα, οἷς ἦν πρὸ τοῦδε
misfortune human bodies for-whom was before this
τρυφηλὴ καὶ διαρρέουσα δίαιτα καὶ πειρατικαῖς ἀνάγκαις
luxurious and dissolute way-of-life and to-piratical hardships
οὐδαμῶς ἐνεθισθεῖσα, πῶς δὲ τὴν ἀνύποιστον καὶ δισσὴν
in-no-way accustomed how and the unbearable and twofold
πύρωσιν, τήν τε ἐκ τοῦ φλογμοῦ τῆς δίψης καὶ τὴν
burning the(-one) both from the blaze of-the thirst and the(-one)
ἐκ τῆς θερινῆς ὥρας τὰς φυσικὰς ἰκμάδας ἀναξηραίνουσαν,
from the summer season the natural moistures drying-up
καὶ τό γε τούτων ἐλεεινότερον, πῶς συνεκρατεῖτο καὶ
and the at-least than-these more-pitiable how was-held-together and
παρέμενεν ἐν ἡμῖν ἡ ψυχή, ὁπότε ταῖς νυξὶν ἐφήπλουν τὰς
remained in us the soul when in-the nights they-spread-over the
δερματίνας δέρρεις διὰ πασῶν τῶν νηῶν καὶ πάντας εἴσω
leather hides through all the ships and all inside
τοὺς δυστυχεῖς ἡμᾶς ἐναπέκλειον, ὥσπερ καὶ τοῦ φωτὸς
the unfortunate us shut-in as-if also the light

ἡμῖν μετὰ τῶν ἄλλων βασκαίνοντες, ἵνα σκότῳ καὶ
to-us with the other(-things) begrudging so-that by-darkness and
καύματι, δυσὶν ἀφύκτοις κακοῖς, τὴν ζωὴν εἰσπραττώμεθα.
heat two inescapable evils the life we-might-pay
ἀλλ' ἡγοῦμαι ὡς ταῦτα πάντα καρτερεῖν ἡ θεία καὶ
but I-think that these(-things) all to-endure the divine and
προνοητικὴ τοῦ παντὸς ὑπὲρ πᾶσαν ἀνθρωπίνην διάνοιαν
provident of-the all beyond every human thought
ἐνεδυνάμου πρόνοια, ἵν' ἐν ὑστέρῳ γνόντες ἐξ οἵων
empowered providence so-that in later(-time) having-known from what-sort
τότε κακῶν παρ' ἐλπίδας ἐρρύσθημεν, ἡμᾶς τε αὐτοὺς
then evils beyond hopes we-were-rescued us both ourselves
καὶ ἄλλους τῷ ὑποδείγματι σωφρονίζωμεν.
and others by-the example we-may-chasten
Ἐπειδὴ δ' ὁ καιρὸς ἐκάλει τῆς πρὸς τὰ οἰκεῖα 583
since and the time called of-the to the own(-lands)
τοῖς βαρβάροις ἀφίξεως, πάλιν ἐκεῖθεν ἀποπλεύσαντες
for-the barbarians arrival again from-there having-sailed-away
κατήχθημεν εἴς τινα νῆσον καλουμένην Ναξίαν, ἐξ
we-were-brought-down to some island called Naxos from
ἧς οἱ τὴν Κρήτην οἰκοῦντες φόρους λαμβάνουσιν· ἐν
which the(-ones) — Crete inhabiting tributes receive in
ᾗ γενομένων ἡμῶν οἱ κατ' αὐτὴν ὄντες ἄνδρες δώροις
which having-come us the on it being men with-gifts
τοὺς ἀρχηγοὺς ἠμείψαντο τῶν νηῶν, οἷς μάλιστα
the leaders repaid of-the ships with-which most
ἐδόκουν αὐτοὺς ἐνδεῶς ἔχειν πρὸς τὴν τοῦ πλοὸς χρείαν.
they-thought them in-want being for the of-the voyage need
πλὴν κἀκεῖ δύο μόνας ἡμέρας προσμείναντες κατηγόμεθα
but there-too two only days having-stayed we-sailed-down
τὴν ἐπὶ Κρήτην (ἐκάλει γὰρ ἡμᾶς ἐπιτήδειον πνεῦμα),
the(-way) to Crete called for us favorable wind

ἕως κατήραμεν ἔν τινι τόπῳ Ζωντάριον μὲν παρὰ τῶν
until we-put-in at some place Zontarion indeed by the
ἐγχωρίων ὀνομαζομένῳ, ἀντιστρόφῳ δὲ ἡμῖν τῇ ἀληθείᾳ
natives named reversed and to-us in-the truth
γνωριζομένῳ· πολλοὺς γὰρ τὸ Ζωντάριον ἐκεῖνο τῆς μὲν
made-known many for — Zontarion that from-the indeed
ζωῆς ἀπεστέρησε, τῷ θανάτῳ δὲ προύδωκε. διὰ γὰρ τὸ
life deprived to-the death and betrayed because-of for the
μὴ τὴν ἀπὸ τοῦ νότου καὶ τοῦ λιβὸς δεδιέναι βλάβην
not the from the south and the southwest(-wind) to-fear harm
τοὺς ἐν αὐτῷ καθορμιζομένους, τὴν πρὸς αὐτὸν διατριβὴν
the(-ones) in it anchoring the to it stay
τοῦ ναυστάθμου τῆς πόλεως οἱ βάρβαροι προκεκρίκασιν.
than-the anchorage of-the city the barbarians have-preferred
ὡς οὖν κατήχθημεν, ἔγνων οἱ Κρῆτες (προεώρων γὰρ
as then we-were-brought-down knew the Cretans they-saw-before for
ἡμᾶς τῆς θαλάσσης μακρόθεν), καὶ πρῶτον τῶν Ῥωμαίων
us from-the sea from-afar and first of-the Romans
τὸν στόλον ἐφώρασαν ἐπέρχεσθαι τῇ νήσῳ, ἐξ οὗ καὶ
the fleet they-suspected to-come-upon the island from which also
περιδεεῖς ἐγένοντο διὰ τὸ μὴ προπαρεσκευάσθαι πρὸς
very-fearful they-became because-of the not to-have-prepared-beforehand for
πόλεμον. ἔπειτα γενομένων ἡμῶν ἐγγύθεν, ἐπειδὴ ἐπέγνων
war then having-come us near since they-recognized
τινὰ γνωρίσματα τῶν νηῶν, πεφθάκασι τὸν τόπον μετὰ
some tokens of-the ships they-reached the place with
πολλῆς θυμηδίας τοὺς ἀμφ' αὐτοὺς δεξιούμενοι, καὶ ὥσπερ
much gladness the(-ones) about them greeting and as-if
τῇ κοινωνίᾳ τῶν τρόπων τὸ γνήσιον τῆς πρὸς ἀλλήλους
by-the communion of-the manners the genuineness of-the toward one-another
στοργῆς ἐνδεικνύμενοι· ἀεὶ γάρ, ὡς λόγος, τὸ ὅμοιον τῷ
affection showing always for as (the)-saying the like to-the

ὁμοίῳ προστρέχει. τότε δὴ πρῶτον ἅπαντες τῶν νηῶν
like runs then indeed first all from-the ships
ἐξῆλθον οἱ βάρβαροι, καί τινος ἡμᾶς τυχεῖν ἀνέσεως τῆς
went-out the barbarians and some us to-obtain relief of-the
ἐν ἀλλήλοις στενοχωρίας ἠξίωσαν, μετέδωκαν δὲ καὶ
among one-another crowding they-deemed-worthy gave and also
τῶν κατὰ τὸν τόπον ὑδάτων πολλῶν ὄντων καὶ ἀφθόνως
of-the at the place waters many being and abundantly
τοῖς κύμασι τῆς θαλάσσης ἐπιρρεόντων. καὶ οὕτω τὴν
into-the waves of-the sea flowing and thus the
νύκτα πᾶσαν τῶν συνεχῶν ἀνεθέντες πόνων ἐδοκοῦμεν
night all from-the continuous relieved toils we-thought
τῇ ἑξῆς χρηστοτέρων τινῶν μετασχεῖν, ἅτε
on-the next(-day) better some(-things) to-share inasmuch-as
πεπληθυσμένης οὔσης τῆς νήσου καὶ πολλὴν ἐχούσης τῶν
populous being the island and much having of-the
χρειῶν δαψίλειαν. οὐκ ἤδειμεν δὲ παραπλησίοις ἐν αὐτῇ
needs abundance not we-knew and like in it
τῶν πρώην ὁμιλεῖν χαλεποῖς, ἢ καὶ χείροσι, καὶ διὰ
to-the earlier to-consort hardships or even worse and because-of
ταῦτά γε μᾶλλον ἐκεῖνα πάσχειν, ὡς ἂν δι᾽
these(-things) at-least rather those(-things) to-suffer so-that — through
ἐκείνων τούτοις συντηρηθῶμεν.
those for-these we-might-be-preserved
Ἤδη γὰρ τῆς νυκτερινῆς σκιᾶς σκεδασθείσης, τοῦ δὲ φωτὸς 584
already for the nocturnal shadow having-been-scattered the and light
ἀρχομένου τὸν ὄρθρον ἐπανατέλλειν, κυριακῆς ἡμερῶν
beginning the dawn to-raise Lord's of-days
ἐπιφωσκούσης, ἀλαλαγμὸς ἐφ᾽ ἑκάστης νηὸς ἠκούετο, ὥσπερ
dawning war-cry on each ship was-heard as-if
τινὰ θυμήρη φωνὴν τῶν βαρβάρων συνεπηχούντων καὶ
some heart-pleasing voice the barbarians sounding-together and

τοῖς κυμβάλοις κτυπούντων, ὡς πάντα δοκεῖν δονεῖσθαι
with-the cymbals clashing so-that all to-seem to-be-shaken
τὸν τόπον καὶ πρὸς τὴν κραυγὴν ἐκταράττεσθαι. εἶτα
the place and at the shout to-be-thrown-into-confusion then
μετὰ τὴν ἄσημον ἐκείνην καὶ φοβερωτάτην ἠχὴν ἐπεχείρουν
after the indistinct that and most-fearful sound they-attempted
πρὸς τὴν γῆν ἀποφορτίζειν τὸν γόμον, διελόντες εἰς μερίδας
to the land to-unload the cargo having-divided into portions
κατὰ τὸν ἀριθμὸν τῶν νηῶν τὸν παρακείμενον τόπον,
according-to the number of-the ships the lying-near place
ὅπου μιᾶς ἑκάστης φόρτον, ὅστις ποτὲ ἦν, διῃρημένως
where of-one each cargo whatever ever was separately
καὶ ἀποκεκριμένως ἀλλήλων ἐξεκομίζοντο, ὡς ἂν
and set-apart from-one-another were-carried-out so-that —
ἀμιγῆ τηρεῖσθαι τὴν ἑκάστης περιουσίαν καὶ τῶν
unmixed to-be-kept the of-each property and from-the(-things)
προσόντων ταῖς ἄλλαις παντελῶς ἀνεπίμικτον. πᾶσαν οὖν
belonging to-the others wholly unmingled all then
ἐκείνην ἀνάλωσαν εἰς τὴν ἀποσκευὴν τὴν ἡμέραν. τῇ δὲ
that they-spent on the unloading the day on-the and
ἑξῆς ἐξῆλθον τῆς θαλάσσης οἱ τῶν νηῶν ἀρχηγοὶ διελεῖν
next(-day) went-out from-the sea the of-the ships leaders to-divide
πάλιν εἰς ἄλλας μερίδας τό τε πλῆθος τῶν αἰχμαλώτων
again into other portions the both multitude of-the captives
καὶ τὴν πολλὴν τῶν σκύλων ὕλην, ἧς ἐξίσταντο τὴν
and the much of-the spoils material at-which were-amazed the
πληθὺν οἱ Κρῆτες, οὐδενὶ παραδείγματι συγκρίνειν ἔχοντες
multitude the Cretans to-no example to-compare having
τὰ βλεπόμενα. ἐπειδὴ δὲ τοῦτο πρῶτον ἔδοξε
the(-things) beheld since and this first seemed-good
τοῖς βαρβάροις, ἀναμιχθῆναι τῶν δυστυχῶν τὸν δῆμον,
to-the barbarians to-be-mixed of-the unfortunate(-ones) the people

ὅπως τὸν ἀναγνωρισμὸν καὶ αὖθις οἱ συγγενείας τινὸς
so-that the recognition also again the(-ones) of-kinship some
μετέχοντες ἐν ἀλλήλοις ποιήσονται, τότε δὴ φοβερός τις
sharing among one-another will-make then indeed fearful some
ἠκούετο καὶ ταραχώδης θρῆνος πάντων ὡς ἀπὸ μιᾶς πηγῆς
was-heard and tumultuous lament of-all as from one spring
ἀφιέντων τοὺς κρουνοὺς τῶν δακρύων, καὶ θρυλουμένων,
letting-go the streams of-the tears and crying-out
εἴ πού τινος εὐτυχήσοιεν τῶν φιλτάτων, καὶ μὴ
if somewhere some they-might-be-fortunate-in of-the dearest and not
λάθη παρελθοῦσα ἡ προθεσμία τῆς ἀνευρέσεως καὶ
escape-notice having-passed the appointed-time of-the finding and
μείωσιν ἐπ᾽ οὐδενὶ βεβαίῳ τὴν περὶ αὐτοὺς ψυχαγωγίαν
diminution on nothing firm the about them consolation
ἐλπίσαντες. περιήρχοντο οὖν αἱ δυστυχεῖς γυναῖκες, τὰς
having-hoped went-round then the unfortunate women the
κόμας ἔχουσαι λελυμένας, πανταχοῦ περισκοποῦσαι καὶ
hair having loosed everywhere looking-about and
διαβρόχους τοὺς ὀφθαλμοὺς περιάγουσαι, τίνι τῶν τέκνων
soaked the eyes turning-about which of-the children
πρῶτον ἐντύχωσιν. οἱ δὲ δὴ παῖδες, ὅσοι τὰ δεινὰ
first they-might-meet the and indeed children as-many-as the terrible(-things)
τῆς θαλάσσης διέφυγον, καθάπερ τινὲς ἁπαλοὶ μόσχοι
of-the sea escaped as some tender calves
γοερὸν μυκῶνται τῆς θηλῆς ἀφαιρούμενοι, οὕτω δὴ
mournfully low from-the teat being-taken-away thus indeed
καὶ οὗτοι ἐλεεινόν τι καὶ συμπαθὲς ἐκλαυθμύριζον,
also these pitiable something and pitiful wailed
ἄλλος κατ᾽ ἄλλο μέρος τῆς διασπορᾶς ἐκείνης γενόμενοι
other in other part of-the dispersion that having-come
καὶ τὰς μητέρας ἀνακαλούμενοι· οἷς καὶ περιτυγχάνουσαι
and the mothers calling-back whom also meeting

πολλάκις αἱ δείλαιαι μητέρες τὴν φυσικὴν ἐκένουν ἐπ'
often the wretched mothers the natural emptied upon
αὐτοῖς συμπάθειαν, περιπλεκόμεναι τοῖς αὐχέσι καὶ πάντα
them compassion embracing the necks and all
αὐτῶν καταφιλοῦσαι τὰ μέλη καὶ δάκρυσι πλύνουσαι,
of-them kissing the limbs and with-tears washing
τοῦτο μόνον ἡγούμεναι μέγα τι καὶ θαυμαστὸν ὡς
this only considering great something and wonderful as
ἐν δεινοῖς παρηγόρημα τὸ παρ' ἐλπίδα σωθῆναι καὶ
in terrible(-things) consolation the beyond hope to-be-saved and
ζῶντας αὐταῖς καὶ αὖθις τοὺς φιλτάτους ἀποδοθῆναι.
living to-them also again the dearest to-be-given-back
ἀλλὰ ταῦτα μὲν ἐπὶ ταῖς ἐχούσαις ἐν χερσὶν ἤδη
but these(-things) indeed for the(-women) having in hands already
τοὺς παῖδας καὶ τὸ κατ' αὐτοὺς ἀσφαλὲς ἐκ τῆς πείρας
the children and the at them safety from the trial
αὐτῆς γνωριζούσαις· τί δ' ἂν εἴποιμι περὶ τῶν ἄλλων,
itself knowing what and — might-I-say about the others
ὧν καθ' ὑδάτων τὰ βρέφη διόλωλε καὶ ἄδηλον ἦν
of-whom in waters the babies perished and unclear was
αὐταῖς τὸ συμβάν, πῶς διεσπάραττον τοὺς χιτῶνας,
to-them the(-thing) having-happened how they-tore the tunics
τὸν ἔνδον τῆς καρδίας μὴ ὑπομένουσαι κλύδωνα; πῶς οὐκ
the inside of-the heart not enduring surge how not
ἤθελον μηδαμοῦ στῆναι, ἀλλὰ περιήγοντο φερόμεναι μάτην
they-wished nowhere to-stand but went-about being-borne vainly
ὑπὸ τῆς ἀλόγου τοῦ πάθους ὁρμῆς, τῇδε κἀκεῖσε τὰ ὄμματα
by the irrational of-the suffering impulse here and-there the eyes
περιστρέφουσαι, εἴ πού τινα τῶν ποθουμένων θεάσοιντο
turning-about if somewhere any of-the longed-for(-ones) they-might-behold
ἤ τινος περὶ αὐτῶν ἀκριβῶς ἰδόντος ἀκούσοιντο, ἵν'
or from-someone about them exactly having-seen might-hear so-that

ἐκείνῳ τὸ τῆς ψυχῆς φλεγμαῖνον κενώσειε; καὶ ταῦτα
on-him the of-the soul inflamed(-part) she-might-empty and these(-things)
μὲν ἔπραττον ἐπὶ δυσὶ πολλάκις ἢ καὶ τρισὶν ἡμέραις, ἕως
indeed they-did for two often or even three days until
πολλὰ καμούσαις ἄλλοι τινὲς τῶν γνωρίμων τὸ περὶ
many(-things) having-toiled other some of-the acquaintances the about
τῶν ζητουμένων ἐδήλωσαν πέρας, λιμοῦ πολλάκις ἢ δίψης
the sought(-ones) declared end of-hunger often or of-thirst
ἔργον τοὺς φιλτάτους αὐτῶν γεγενημένους· ἐξ οὗ δὴ καὶ
work the dearest of-them having-become from which indeed also
μᾶλλον τὸ πάθος ἐξαγριαίνουσαι, γεγωνοτέροις θρήνοις καὶ
more the suffering making-savage with-louder laments and
ἄλλοις θλιβερῶν εἴδεσι τοὺς ἀποιχομένους ἐφιλοφρόνουν.
other of-grievous forms the departed they-caressed
ἀλλὰ τί μάτην τὴν ἐπὶ τούτοις ἐπιχειρῶ συγγραφήν, οὐδὲ
but why vainly the about these do-I-attempt writing not-even
τὸ πολλοστὸν μέρος τῶν τότε πεπραγμένων ἱκανὸν
the many-times-smallest part of-the(-things) then done sufficient
παραστήσασθαι; ἐκεῖνον γὰρ αὐτὸν ἔδει παρεῖναι τὸν
to-set-forth that(-one) for himself it-was-needful to-be-present —
τοὺς θρήνους τῆς Ἱερουσαλὴμ ἀναγραφόμενον Ἱερεμίαν,
the laments — of-Jerusalem recording Jeremiah
ἵν' ἐπαφῇ δάκρυον ἀπαρηγόρητον ἐπὶ τοσοῦτον λαὸν
so-that he-might-let-loose tear unconsolable over so-great people
τοσαύταις ἀλγηδόσι κατατρυχόμενον. οὐ γὰρ οὕτω φωνὴν
by-so-many pains being-worn-out not for thus voice
ἀφῆκε Ῥαχὴλ ἐν Ῥαμᾷ, ὅτε τὴν στέρησιν τῶν τέκνων
let-go Rachel in Rama when the deprivation of-the children
ἀπωλοφύρετο, καθώς φησιν ἡ γραφή, ὡς ἡ κοιλὰς
she-bewailed as says the scripture as the valley

ἐκείνη καθ' ἣν ἐτελεῖτο ταῦτα, τὰς ἀλγηδόνας τῶν
that in which were-accomplished these(-things) the pains of-the
ἁλόντων συνεπιτείνουσα.
captured intensifying
587 Οἷον γὰρ πάλιν ἀπὸ τούτων παρὰ τῶν μισοθέων
what-sort for again from these by the God-haters
ἐπράχθη κακόν! καθὸ γὰρ φθάσαντες ἔφημεν, λογισαμένων
was-done evil as for having-anticipated we-said having-reckoned
αὐτῶν πρῶτον ὡς εἰ κατὰ συγγένειαν πρὸς ἀλλήλους
they first that if by kinship with one-another
οἱ τοῦ πλήθους ἀναμιχθῶσι τῶν αἰχμαλώτων, καὶ
the(-ones) of-the multitude should-be-mixed of-the captives also
τῶν πολλῶν ὀδυνῶν παύσονται, καὶ πρὸς τὴν δουλείαν
from-the many pains they-will-cease and for the slavery
ἡνίκα ἂν ἐκδοθῶσι, φορητὴν αὐτοῖς εἶναι ὡς ἐν
when — they-are-given-out bearable for-them to-be as among
κακοῖς τὴν ἐπήρειαν, ὡς εἶδον αὐτοὺς ταῖς ἀγχιστείαις
evils the abuse when they-saw them by-the kinships
ἐπισυναλλαττομένους καὶ καθάπερ σειρὰν ἄλυτον ἕτερον
being-joined-together and as-if chain unbreakable other
ἐχόμενον τοῦ ἑτέρου, τόν τε χωρισμὸν δυσδιαίρετον, καθὸ
holding of-the other the both separation hard-to-divide as
ἔμελλον τὰς μερίδας μιᾶς ἑκάστης νηὸς ἀπονεῖμαι,
they-were-about the portions of-one each ship to-distribute
ἐβουλεύσαντο πάλιν βουλὴν πονηρὰν καὶ πολεμίαν τῆς
they-resolved again plan evil and hostile to-the
φύσεως. τοὺς ἅπαξ γὰρ ἑνωθέντας διαιρεθῆναι καὶ αὖθις
nature the(-ones) once for having-been-united to-be-divided also again
προσέταττον, καὶ εἴ πού τις μήτηρ, φησίν, ἐν αὐτοῖς
they-ordered and if somewhere any mother he-says among them
νήπιον ἔχουσα τοῦ γάλακτος δεόμενον, τοῦτο μόνον πρὸς
infant having of-the milk needing this only with

τὴν τεκοῦσαν μένειν οἱ δυσσεβεῖς κατεθέσπισαν ὡς
the(-one) having-borne(-it) to-remain the impious(-ones) decreed as
μηδὲν τυχὸν δυνάμενον ἑαυτῷ πρὸς τὴν ζωὴν συντελεῖν,
nothing perhaps being-able for-itself toward the life to-contribute
τοὺς λοιποὺς δὲ τῶν συγγενικῶν συναφειῶν καὶ αὖθις
the remaining(-ones) and of-the kin connections also again
διαιρεθέντας ἀναμὶξ καὶ ἀδιαφόρως τοῖς κλήροις ἀποδοθῆναι.
having-been-divided mixed and indiscriminately to-the lots to-be-given-out
ἀλλὰ τίς λόγος τὸ μέγεθος τῆς συμφορᾶς ταύτης ἐκφράσοι;
but what speech the greatness of-the misfortune this could-express
ποία δὲ γλῶσσα ῥητόρων ἐπεξελθεῖν δυνηθείη τὴν ποικίλην
what-sort and tongue of-orators to-go-through could-be-able the varied
ἐκείνην καὶ πολυειδῆ τῶν ὀδυνῶν κάκωσιν, ὁπότε καὶ ἡ
that and many-formed of-the pains affliction when also the
αὐτὴ φύσις τῷ καινῷ τούτῳ καὶ παραλόγῳ προστάγματι
same nature by-the novel this and unreasonable order
εἰς πολλὰ κατετέμνετο, τοῦτο μόνον ἔγκλημα τὴν
into many(-parts) was-cut-up this only charge the
κοινωνίαν τοῦ γένους ἔχουσα καὶ τὴν ἔμφυτον τῶν
community of-the race having and the inborn of-the(-ones)
ἐνωθέντων συνάφειαν; καὶ γὰρ ἀπεσπᾶτο πατρὸς μὲν
united connection and for was-torn-away from-father indeed
υἱός, μητρὸς δὲ θυγάτηρ καὶ ἀδελφὸς ἀδελφοῦ. ἐν οἷς
son from-mother and daughter and brother from-brother in which
τί πάσχειν εἰκὸς τούτους ἅπαντας, ὁπότε πρὸς δουλείαν
what to-suffer likely these all when to slavery
ἤγοντο εἰς γῆν ἀλλοτρίαν, ὅπου τὸ μὲν σέβας τῆς καθ᾽
they-were-led into land foreign where the indeed reverence of-the among
ἡμᾶς πίστεως ὡς ἐναγὲς ἐνυβρίζεται, πάθη δὲ τιμᾶται
us faith as accursed is-insulted passions and are-honored
ἀλογώτατα· ὅπου πορνεία σεμνύνεται καὶ μανία γεραίρεται,
most-unreasonably where fornication is-held-in-honor and madness is-revered

καὶ πολλῆς τιμῆς καταξιοῦται ἀναίδεια· ὅπου τῶν ἀρρένων
and of-much honor is-deemed-worthy shamelessness where of-the males
ἡ φύσις εἰς γυναικείαν χρῆσιν μετάγεται, καὶ ἡ κτίσις
the nature into womanly use is-transferred and the creation
ὑβρίζεται, καὶ συγχύσεως γέμει πάντα καὶ πρὸς τὸ κακὸν
is-outraged and of-confusion is-full all-things and to the evil
ἀνατέτραπται. τί πρῶτον τούτων ἁπάντων ἐκόψαντο;
has-been-overturned what first of-these all did-they-bewail
ἐν ποίῳ δὲ μὴ ἀγχόνην ἠρήσαντο; ἀλλ' ὅμως ἔφερον
in what-sort and not hanging did-they-choose but nevertheless they-bore
πάντα, τὴν ἐπὶ πᾶσι μεγαλοψυχίαν παρεχομένου θεοῦ καὶ
all the in all(-things) magnanimity supplying God and
τῷ οἰκείῳ βουλήματι τὰ καθ' ἕκαστον μεθαρμόζοντος.
by-the own will the(-things) in each(-case) adjusting

XI · TRIPOLI AND TARSUS

Twenty-two thousand captives are counted, all young; the Cretans buy many to resell in exchanges, and Kameniates' mother, wife, two children, and siblings are sent to Syria. In a storm Leo grants a sinking ship's plea to drown Kameniates' fellow prisoners, but their ship drifts off; he takes the men into his own, which God saves. At Tripoli the captives are paraded in triumph; Kameniates' father dies there, and the rest are taken to the prison at Tarsus to await the exchange. He closes by asking Gregory for his prayers.

589 Ὡς δὲ πάλιν τῷ προστάγματι τούτῳ τῆς ἐξ ἀλλήλων
as and again by-the order this from-the from one-another
διῃρέθησαν συγγενείας, ἐκάθηντο φρουρούμενοι κατὰ
they-were-divided kinship they-sat being-guarded in
διαφόρους τόπους, ἕως ἐξῆλθεν ἕτερον πρόσταγμα, πάντας
different places until came-out another order all

ἀριθμηθῆναι καὶ πρὸς τὰς ἰδέας τῶν προσώπων καὶ
to-be-counted and according-to the forms of-the faces and
τῶν ἡλικιῶν τὸ διάφορον ἑκάστης νηὸς ἴδιον σύνταγμα
of-the ages the difference of-each ship own company
γνωρισθῆναι, ἵν' ἐν μηδεμιᾷ φανείη πλεονασμός, φησίν,
to-be-made-known so-that in none might-appear excess he-says
ἢ ὑφαίρεσις, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ἐνόντων ταῖς
or subtraction but according-to the multitude of-the being-in the
ναυσὶ βαρβάρων, οὕτω καὶ τὰς μερίδας γενέσθαι καὶ
ships barbarians thus also the portions to-be and
μηδὲν αὐταῖς περιττὸν ἢ ἐλλεῖπον ἀποδοθῆναι. ἠρίθμησαν
nothing to-them superfluous or lacking to-be-given-out they-counted
οὖν ἐν πρώτοις τὴν πληθὺν ἅπασαν· ἡ δὲ ἦν δύο
then among first(-things) the multitude all the(-one) and was two
καὶ εἴκοσι χιλιάδες, ἐξ ὧν ἁπάντων, χωρὶς ἡμῶν τῶν
and twenty thousands from which all apart-from us the(-ones)
λόγῳ τῆς καταλλαγῆς τηρουμένων, οὐχ ἦν οὐδεὶς ὃς τὸν
by-reason of-the reconciliation being-kept not was anyone who the
πώγωνα εἶχε τετριχωμένον. ἀλλ' οὐδὲ προβεβηκυῖα γυνὴ
beard had grown but not-even advanced woman
ἐν ταύταις πάσαις ταῖς χιλιάσιν. ἐπίλεκτος δέ τις ἦν
among these all the thousands chosen and some was
καὶ νεάζων ὁ δῆμος, καὶ οἷον ἐρίζων ἕκαστος ἢ τῷ
also youthful the people and as-it-were vying each either in-the
ἀκμαίῳ τῆς ἡλικίας ἢ τῷ ὡραίῳ τῆς μορφῆς ὑπερβαίνειν
prime of-the age or in-the bloom of-the form to-surpass
τὸν ἕτερον, κἂν ἡ ἐπαλληλία τῶν δυσχερῶν τῶν
the other even-if the succession of-the hardships from-the
φυσικῶν αὐτοὺς ἕξεων ἀλλοτριοῦν ἐβιάζετο. ἀλλ' ὅτε δὴ
natural them conditions to-estrange forced but when indeed
πάντες εἰς μερίδας γενόμενοι πάλιν μετὰ τῶν σκύλων
all into portions having-come again with the spoils

ταῖς νανσὶ συνηλάθησαν (ἄμφω γὰρ καὶ ταῦτα σὺν τῷ
into-the ships were-driven-together both for also these(-things) with the
πλήθει διενεμήθησαν), τότε δὴ τῶν βαρβάρων οἱ τὴν
multitude were-distributed then indeed of-the barbarians the(-ones) —
Κρήτην οἰκοῦντες οὐκ ὀλίγους ὠνοῦντο, πολὺ χρυσίον ὑπὲρ
Crete inhabiting not few bought much gold for
αὐτῶν καταβαλέσθαι μὴ παραιτούμενοι, οὐχ ἁπλῶς οὐδ' ὡς
them to-pay not refusing not simply nor as
ἔτυχεν, ἀλλὰ κέρδους τινὸς ὑπόθεσιν ἑαυτοῖς ἐκ τούτου
it-happened but of-profit some occasion for-themselves from this
περιποιούμενοι. ἤδεισαν γὰρ πολλαπλασίονα τῶν
procuring they-knew for many-times-more than-the(-things)
διδομένων λαβεῖν, ἡνίκα ἂν καταλλαγῆς ἐπέλθοι καιρός,
given to-receive when — of-reconciliation should-come time
ὁπότε τοὺς ὁμοφύλους αὐτῶν τοὺς παρὰ τῶν Ῥωμαίων
when the fellow-tribesmen of-them the(-ones) by the Romans
χειρωθέντας, ἐκδέχονται. οὐδὲ γὰρ ὡς ἐν τοῖς κατὰ
subdued they-receive not-even for as among the(-ones) in
Συρίαν, οὕτω καὶ τούτοις ἡ τῶν αἰχμαλώτων ἀπολύτρωσις
Syria so also among-these the of-the captives ransoming
ἐκτελεῖται, ἀλλ' ἐπεκράτησεν ἐν τούτοις παλαιὸν ἔθος
is-carried-out but prevailed among these old custom
χρόνῳ βεβαιωθέν, ἵνα καὶ τὸν βάρβαρον, ὅστις ποτὲ ἦν,
by-time confirmed so-that also the barbarian whoever ever was
χάριν τοῦ κατεχομένου κομίζωνται, καὶ τὴν ὑπὲρ
for-the-sake-of the(-one) held they-recover and the for
αὐτοῦ δοθεῖσαν τιμὴν ἀπαιτῶσιν εἰς τὸ διπλάσιον. διά
him given price they-demand into the double because-of
τοι τοῦτο πολλοὺς οἱ Κρῆτες τῶν αἰχμαλώτων ὠνήσαντο,
indeed this many the Cretans of-the captives bought
τὴν καθ' ἡμᾶς συμφορὰν κέρδους συνεισφορὰν ἑαυτοῖς
the concerning us misfortune of-profit contribution for-themselves

ἐφευράμενοι. ἐπράχθη δὲ ταῦτα ἐφ᾽ ὅλαις ἡμέραις
having-found was-done and these(-things) for whole days
δέκα, ἀεὶ τῶν ἐθάδων νηῶν μετασκευαζουσῶν τοὺς
ten always the accustomed ships transferring the(-ones)
ὠνουμένους καὶ πρὸς τὴν ἰδίαν πόλιν μεταγουσῶν. ἐν
buying and to the own city transferring in
οἷς ἔτυχεν ἐκδοθεῖσα καὶ ἡ τοῦ ἐμοῦ ἀδελφοῦ σύζυγος,
which happened given-out also the of-the my brother wife
οὐ μετρίαν ἡμῖν ὀδύνην περιποιήσασα. ἡ δέ μοι μήτηρ
not moderate to-us pain having-procured the and my mother
καὶ ἡ γαμετὴ σὺν δυσὶ τέκνοις (τὸ γὰρ ἕτερον ἔργον ἦν
and the wife with two children the for other work was
γενόμενον τῆς θαλάσσης), ἔτι δὲ καὶ ἐλεεινὸς ἄθλιος ὁ
having-become of-the sea still and also pitiable wretched the
τλήμων ἀδελφὸς καὶ ἡ τῷ χρόνῳ πάντων ἐφυστερίζουσα
suffering brother and the in-the time than-all coming-later
ἀδελφή, ἔκ τινος θεϊκῆς προνοίας εἰς μίαν Σιδονίαν
sister from some divine providence into one Sidonian
ἔτυχον ναῦν, τῆς πρὸς Συρίαν ἀποδημίας τηρούμενοι.
happened ship of-the to Syria journey being-kept
ἡμᾶς δὲ πάντας τοὺς ἐν τῇ καταλλαγῇ τηρουμένους ἔτι
us and all the(-ones) in the reconciliation being-kept still
διεσπαρμένους ὄντας συναγαγόντες οἱ βάρβαροι καί τινι
scattered being having-gathered the barbarians and in-some
πολεμικῇ νηΐ τῶν ἐκ τοῦ λιμένος ἀνασπασθεισῶν
warlike ship of-the(-ones) from the harbor hauled-up
ὑφ᾽ ἕν εἰσενεγκόντες καθεῖρξαν, φύλακάς τινας τῶν καθ᾽
in one having-brought-in shut-in guards some of-the at
αὐτοὺς ἐμπείρων αὐτῶν ἡμῖν συμβιβάσαντες.
them experienced of-them to-us having-put-together

591 Καὶ οὕτως ἐσκευάζοντο μετὰ μίαν ἄλλην ἡμέραν ἔχεσθαι
and thus they-prepared after one other day to-hold-to
τοῦ πλοός· ἤδη γὰρ ἦγεν αὐτοὺς ὁ καιρὸς καὶ χρονίζειν
the voyage already for led them the season and to-delay
οὐκ ἐδίδου τῷ τόπῳ, πρὸς τὸ χειμέριον τὸν ἀέρα
not allowed in-the place to the wintry the air
μετατιθέμενος. ἵπποις οὖν ἐφεστῶσιν ἐπιβάντες οἱ τῶν
changing on-horses then standing-by having-mounted the of-the
νηῶν ἀρχηγοὶ μετὰ καὶ αὐτοῦ τοῦ τυράννου πρὸς τῇ πόλει
ships leaders with also himself the tyrant at the city
γεγόνασιν, ἅμα μὲν ἐνδεικνύμενοι τοῖς Κρησὶ τὴν ἐπὶ
have-come at-once indeed showing to-the Cretans the at
τοῖς πεπραγμένοις ἐν ἡμῖν περιφάνειαν, ἅμα δὲ καὶ
the(-things) done among us splendor at-once and also
τὴν βδελυρὰν αὐτῶν τελετὴν ἐκπληρώσοντες, δεξιωθῆναί
the abominable of-them rite going-to-fulfill to-be-welcomed
τε παρὰ τῶν αὐτοχθόνων καί τινος τυχεῖν τῶν
both by the natives and some to-obtain from-the(-things)
προηγωνισμένων ἀνέσεως. οὗ δὴ καὶ μίαν ἄλλην ἡμέραν
contended-before relief where indeed also one other day
προσδιατρίψαντες τομῶς ὑπέστρεψαν, ἐπισπεύδοντες τὰ
having-stayed-on boldly they-returned hastening the(-things)
πρὸς τὸν πλοῦν, καλοῦντος αὐτοὺς ἤδη τοῦ πνεύματος.
for the voyage calling them already the wind
ἤδη δὲ τῆς δωδεκάτης ἡμέρας ἀρχομένης, λέγω δὴ
already and the twelfth day beginning I-mean indeed
τῆς πρὸς τὴν Κρήτην ἀφίξεως, τοῦ πλοὸς ἀπηρξάμεθα.
of-the to — Crete arrival the voyage we-began
μετήχθημεν δὲ πρὸς τὴν ἀντικρὺ νῆσον, ἥτις Διὸς
we-were-transferred and to the opposite island which Dios
καλεῖται· καὶ πάλιν ἐκεῖθεν ἀναχθέντες ἐν τῷ τῆς νήσου
is-called and again from-there having-put-to-sea at the of-the island

πέρατι προσωρμίσθημεν. ἐν ᾧ καὶ ὑδρευσάμενοι καὶ
end we-were-moored at which also having-drawn-water and
μικρόν τι τῷ τόπῳ προσμείναντες, ὡς κατ᾽ οὐρὰν
little some(-while) in-the place having-stayed when at tail
εἶδον γεγονότα τὸν ἄνεμον, ἀπέπλευσαν ἐκεῖθεν κατὰ μέσον
they-saw having-become the wind they-sailed-off from-there through middle
ἰθύναντες τοῦ πελάγους. ἦμεν δὲ πάντες, ὡς εἴρηται, ἐν
directing of-the sea we-were and all as has-been-said in
μιᾷ νηΐ Ῥωμαϊκῇ πολεμικῇ, ἥτις ἦν διήρης, ὧν τὴν μὲν
one ship Roman warlike which was bireme of-whose the indeed
ἄνω καθέδραν οἱ λαχόντες εἶναι μεθ᾽ ἡμῶν βάρβαροι
upper seat the having-been-allotted to-be with us barbarians
ἑαυτοῖς ἐκληρώσαντο, τὴν κάτω δὲ ἡμῖν ἐπαφῆκαν,
to-themselves allotted the lower and to-us they-left
σκότους πολλοῦ καὶ δυσωδίας πλήρη. καὶ τί ἄλλο γε
of-darkness much and of-stench full and what other indeed
χρὴ λέγειν ἢ τάφον ἐφ᾽ ὕδασι φερόμενον; εἰ γὰρ
must-one say than tomb on waters borne if for
ἀπαριθμῆσαι θελήσω καθ᾽ ἓν ὅσα κατὰ τὴν περίοδον
to-enumerate I-will-wish one-by one as-many-as during the circuit
ἐκείνην τοῦ πλοὸς ὑπέστημεν καὶ μεθ᾽ ὅσης στενοχωρίας,
that of-the voyage we-underwent and with how-much crowding
μύθους δόξω τοῖς πολλοῖς ἐξηγεῖσθαι καὶ τῆς ἀληθείας
fables I-will-seem to-the many to-relate and from-the truth
ἐκτρέπεσθαι, καθ᾽ ἣν ἐν ἀρχῇ τοῦ λόγου πάντα
to-turn-aside according-to which in beginning of-the speech all
γραφῇ παραδοῦναι καθυπεσχόμην. διά τοι τοῦτο τὰ
to-writing to-deliver I-promised because-of indeed this the
πλεῖστα τῶν πεπραγμένων ἑκὼν παραδραμών, οἷς
most of-the(-things) done willingly having-run-past in-which
ἂν ἐδόκουν μάλιστα τὴν ἡμετέραν ἐξαρκεῖν διάνοιαν μέχρι
— I-thought most the our to-suffice mind until

τοῦ νῦν προσδιατρίψας, ὡς ἐν ἅπασι τὸ πιστόν
to-them to-vote the and of-old longing remaining
ἔπειθεν ἐθέλειν τὸν ἄνδρα μόνον αὐτὸν φαινόμενον τὸ
persuaded to-want the man alone himself appearing the
πᾶν, καθὰ πρὸς ἀγαθοῦ σφίσιν ἦν, καταπράξεσθαι. οὐκοῦν
all as toward good for-them was to-accomplish accordingly
ἠσπάζοντο ἐκεῖνον, ἐφίλουν πρόσωπόν τε, οὗ τὴν θέαν
they-greeted that(-one) kissed face both of-which the sight
εὔχοντο, καὶ χεῖρας, ἐφ' αἷς ἐπεποίθεισαν, ἐπ' αὐταῖς
they-prayed-for and hands on which they-had-trusted on them
ἐνεθουσίων· ἐξηρεύγοντο ἐπαίνους παντοδαπούς, ἀνεβόων
were-inspired belched-out praises of-all-kinds shouted
συχνὰ δόξαν τῷ θεῷ· προσεκαλοῦντο, εἰ οἷόν τε, διαπηδῆσαι
often glory — to-God called-on if able — to-leap

εἰς τὴν ἀντίπορθμον ταχύ· τὸ γὰρ ποδῶκες τοῦ ἀνδρός,
to the opposite-shore quickly the for swift-footedness of-the man
ἐπίσημον αὐτῷ τυγχάνον πρὸς φύσεως, καὶ τοιαύτην, οἶμαι,
notable for-him being by nature also such I-think
καινοτροπίαν ἐνθυμήσεως ὑπέβαλλε τοῖς πολλοῖς. ὁ
novelty of-thought suggested to-the many the(-one)
δὲ τὰ μὲν ἀντιχαρεὶς ὡς εἰκὸς καὶ μάλα, τὰ
and the(-things) indeed rejoicing-in-return as likely and very the(-things)
δὲ καὶ φιλενδεικτήσας ἐν οἰκείοις κενεαυχήμασιν, οὐκ
and also showing-off in own empty-boasts not
ὀλίγα δὲ καὶ θαρρύνας τοὺς εἰς αὐτὸν ἀφεωρακότας,
few and also having-encouraged the(-ones) to him having-looked
αἴρεται μικροῦ δεῖν ἐπὶ χειρῶν, οὐ μόνον πρὸς Ἀγγέλων,
is-lifted by-little to-lack on hands not only by of-Angeloi
γένους τούτου βασιλικοῦ λαμπροῦ τε καὶ πολυδυνάμου,
race this imperial brilliant both and very-powerful
ἀλλὰ καὶ ὑπὸ λοιπῆς εὐγενείας καὶ συγκλήτου λογάδος
but also by remaining nobility and of-(the)-senate elite
καὶ τῶν ἄλλων τέκνων τῆς πόλεως. καὶ εἶχε λοιπὸν
and of-the other children of-the city and held henceforth
αὐτὸν οὕτως ἡ μεγαλόπολις, μυρία καινοπραγήσαντα.
him thus the great-city countless having-done-new(-things)
394 Ἐνταῦθα ἔστιν εἰπεῖν ὡς ὁ μὲν εἰπὼν "εὐλόγησέ
here it-is-possible to-say that the(-one) indeed having-said blessed
σε ὁ θεὸς ἐπὶ τῷ ποδί μου" ἀοίδιμός ἐστιν εἰς ἀγαθόν,
you — God at the foot of-me renowned is for good
ἐπεὶ οὐδὲ ἔξω ἐγκωμίων ἡ τοῦ δικαίου μνήμη πίπτειν
since not-even outside of-praises the of-the just memory to-fall
οἶδε· τὸν δὲ Ἀνδρόνικον ἐξ αὐτῶν βαλβίδων εἰσόδου
knows — and Andronikos from themselves starting-lines of-entry
ἔχοι ἂν ἡ μεγαλόπολις μέμφεσθαι, ὅτι οὐκ εὐλόγησεν
might-have — the great-city to-blame that not blessed

αὐτὴν ὁ ποὺς αὐτοῦ. οὐδὲ γὰρ ἵστατο ἐν εὐθύτητι, ὡς
it the foot of-him nor for stood in uprightness as
τὰ ἐφεξῆς ἅπαντα ἔδειξαν. ἅμα γὰρ ἡ τοῦ μεγάλου
the(-things) following all showed at-once for the of-the great
Κωνσταντίνου κληρονομία εἶχεν αὐτόν, καὶ αὐτίκα οἱ ἀμφ'
Constantine inheritance held him and at-once the about
αὐτὸν Παφλαγόνες, ἔθνος ἀτάσθαλον καὶ ἐν Ἕλλησι
him Paphlagonians nation reckless and among Greeks
βάρβαρον, κελευσθὲν ἐνεπήδησε τῷ τῶν Λατίνων φύλῳ,
barbarian having-been-ordered leapt-upon the of-the Latins tribe
οἳ ἀφωρισμένοι κατ' ἔθος ἀρχαῖον περὶ τὸν αἰγιαλὸν τοῦ
who set-apart by custom ancient about the shore of-the
Βυζαντίου κέρατος, τὸν τοῦ φωσφορίου ἐχόμενον, ὑπὲρ
of-Byzantium Horn the(-one) of-the Phosphorion holding over
ἑξήκοντα χιλιοστύας ἐχέοντο εἰς ἀριθμόν. ἐπεκάλουν δὲ τοῖς
sixty thousands were-poured in number they-charged and the
Λατίνοις ἐκεῖνοι ὅτι πρὸς τοῦ πρωτοσεβαστοῦ καὶ τῆς
Latins those that on-the-side of-the protosebastos and of-the
δεσποίνης Ξένης ἦσαν καὶ δι' ἐκείνους ἐβούλευον κατὰ
empress Xene they-were and because-of those plotted against
Ῥωμαίων κακά. καὶ ἦν ἀληθῶς οὕτως ἔχον τὸ πρᾶγμα·
Romans evils and was truly thus being the matter
διεκπεσόντες γὰρ καὶ ἡ δέσποινα καὶ ὁ πρωτοσεβαστὸς
having-fallen-out for both the empress and the protosebastos
τοῦ ὑπὸ Ῥωμαίων στέργεσθαι ἀπέβλεψαν εἰς τοὺς
from-the by Romans to-be-loved looked to the
Λατίνους, καὶ δώροις ἐπάραντες καὶ μάλιστα ὑποσχέσεσι
Latins and with-gifts having-elated and most with-promises
τοῦ τὴν πόλιν τε προνομεῦσαι καὶ ὑπὸ δουλείαν αὐτοῖς
of-the the city both to-plunder and under slavery to-them
τοὺς Ῥωμαίους θέσθαι, ἀνέπεισαν ἤδη καὶ πρὸς μάχην
the Romans to-put persuaded already also for battle

ἐξαρτύεσθαι, εἰ μὴ ταχὺ ὁ Ἀνδρόνικος ἐπεραιώσατο· οἵ
to-be-equipped if not quickly — Andronikos had-crossed who
γε καὶ τοῦ ὡς ἐρρέθη ἱεροῦ πολέμου συνεφάψασθαι
indeed also of-the as was-said sacred war to-take-part
τότε προσελήφθησαν μέν, ἤργησαν δὲ διὰ τὸ ταχὺ
then were-taken-on indeed were-idle and because-of the quickly
ἐκεῖνον λυθῆναι. ἐπεκλᾶτο μὲν οὖν τοῖς Λατίνοις
that(-one) to-be-ended was-turned-back indeed then upon-the Latins
αὕτη αἰτίασις οὐ ψευδής, οὐδ' εἶχον εἰπεῖν, οὔτε μὴν
this charge not false nor they-could to-say nor indeed
ἔχοιεν ἄν, ὡς ἦσαν ἄμεμπτοι· ἔμελλον δὲ οἴμοι κακῷ
they-could — that they-were blameless were-about and alas with-evil
μεγάλῳ μέγα κακὸν ἐκθεραπεῦσαι οἱ Παφλαγόνες, οἷς
great great evil to-cure the Paphlagonians in-what
ἀλογίστως ἐθρασύναντο. εἰσελθόντες γὰρ τὴν μεγαλόπολιν
unreasonably they-grew-bold having-entered for the great-city
καὶ πλαγιάσαντες ἐπὶ τοὺς Λατίνους (εἰκὸς δὲ πάντως
and having-turned-aside against the Latins likely and surely
καὶ ἄλλους τῶν τοιαῦτα νεωτερίζεσθαι φιλούντων
also others of-the(-ones) such(-things) to-innovate loving
συναίρεσθαι αὐτοῖς) ἐπέρχονται τοῖς Λατίνοις οὐκ ἂν
to-join-in with-them come-upon the Latins not —
ἐλπίζουσι, καὶ διατίθενται τὰ ἐλεεινότατα, καὶ σπέρματα
expecting and treat(-them) the(-things) most-pitiable and seeds
ἐκεῖνα προκαταβάλλονται ἀφ' ὧν ἡμεῖς καὶ πολλοὶ ἕτεροι
those lay-down-beforehand from which we and many others
σὺν ἡμῖν τεθερίκαμεν λειμῶνος Περσεφόνης, οὕτω φάναι,
with us have-reaped of-(the)-meadow of-Persephone thus to-say
δράγματα· ἐκεῖθεν γὰρ ἡμῖν καθήκει τὰ παρόντα κακά.
sheaves from-there for to-us come-down the present evils

Καὶ ἀφηγεῖσθαι μὲν τὰ τότε δεινά, ὅσα εἶδον οἱ 395
and to-relate indeed the then terrible(-things) as-many-as saw the
Λατῖνοι, τὸ πῦρ ὃ τὰ κατ᾽ αὐτοὺς ἐπενείματο
Latins the fire which the(-things) concerning them devoured
δίχα γε τῶν ἀφαρπαγέντων, τοὺς κατὰ θάλατταν
apart-from at-least of-the(-things) snatched-away the at sea
ἐμπρησμοὺς ἐκ τοῦ παρὰ Ῥωμαίοις ὠμβρημένου πυρὸς
burnings from the by Romans rained fire
τοῖς ἐπὶ πλοίων φεύγειν ὁρμήσασι, τὰ κατ᾽
on-the(-ones) on boats to-flee having-rushed the(-things) along
αἰγιαλούς, τὰ περὶ τὰς ἀμφόδους, ἔργον ἂν εἴη πολύ,
shores the(-things) about the streets work — would-be much
καὶ ὡς οὐ μόνον τῶν ἀνθοπλιτῶν Λατίνων κατεφέροντο
and how not only on-the armed Latins swept
οἱ τοῦ Ἀνδρονίκου, ἀλλὰ καὶ ὅσοις περιεποιεῖτο ἔλεον
the(-ones) — of-Andronikos but also as-many-as procured mercy
τὸ ἀπάλαμνον· καὶ γυναῖκες γὰρ αὐτῶν ἐρριπτοῦντο ξίφεσι
the helplessness and women for of-them were-thrown to-swords
καὶ βρέφη. καὶ τοῦτο μὲν δεινόν, οὐχ οὕτω δὲ ὡς ὅτε
and babies and this indeed terrible not so and as when
καὶ γαστέρων ἀναρρηγνυμένων μητρικῶν ἐμαιοῦτο σίδηρος
also bellies being-torn-open maternal delivered iron
τὰ ἔμβρυα, καὶ πρὸ ὥρας βλέποντος ἡλίου τὸ μικρὸν
the unborn and before (the)-hour seeing sun the little
ὁ τοῦ ᾅδου σκότος μετεξεδέχετο αὐτό, τεθνηκὸς πρὶν
the — of-Hades darkness received-in-turn it having-died before
ἢ καὶ ζῆσαι τὸ τέλειον. θηριῶδες τοῦτο καὶ ἀσύγκριτον
than even to-live the complete beastly this and incomparable
μανίαις ἑτέραις. ἔπεσε τότε καὶ ἀνὴρ ἱερὸς ἐν Λατίνοις,
to-madnesses other fell then also man sacred among Latins
οὐκ οἶδ᾽ εἴτε ἀπὸ τῆς πρεσβυτέρας ἥκων Ῥώμης κατὰ
not I-know whether from the elder having-come Rome on

πρεσβείαν, εἴτε Σικελίαθεν, πάντως δὲ ἢ Ῥωμαῖος ὢν ἢ
embassy or from-Sicily surely and either Roman being or
Σικελός. καὶ οὐχ ἁπλῶς ἔπεσεν, ἀλλὰ μετὰ τῆς παρ᾽ ἐκείνῳ
Sicilian and not simply he-fell but with the among that(-one)
ἱερᾶς ὅλης περιβολῆς, ἣν ὅπλων πρόβλημα περιέθετο, εἴ
sacred whole robe which of-arms (as)-defense he-put-on if
πως αὐτὸν αἰδέσονται οἱ κακοί. καὶ γέγονε καὶ ταῦτα
somehow him will-respect the evil(-ones) and became also these(-things)
ἡμῖν προκεντήματα ὧν ἐπάθομεν· ἡμῖν γὰρ οὐδὲ οἱ
for-us preludes of-what we-suffered for-us for not-even the
ναοὶ τοῦ θεοῦ ἄσυλοι. οὐδὲ γὰρ οὐδ᾽ αὐτοὶ ἄχραντοι
temples — of-God inviolable not-even for not themselves undefiled
ἔμειναν, ὅτε νεκροὶ μὲν ἐστρώννυον αὐτοῖς τὰς κρηπῖδας
remained when dead indeed strewed for-them the foundations
παντοδαποί, ἐν οἷς καὶ ἱερὰ πρόσωπα, αἵματι δ᾽
of-all-kinds among which also sacred persons with-blood and
ἐρράδατο τοῖχοι καλαί τε μεσόδμαι, παρ᾽ ὅσοις αἱ ἱεραὶ
were-sprinkled walls beautiful both cross-beams among as-many-as the sacred
στέγαι ταπειναὶ ἤροντο. ἀλλὰ ταῦτα μὲν ὕστερον· τότε
roofs low were-raised but these(-things) indeed later then
δὲ τηλίκον ἦν τὸ κακὸν τοῖς Λατίνοις ὡς ἐκβοήσαντας
and so-great was the evil for-the Latins that having-cried-out
κατὰ τοῦ Ἀνδρονίκου δοκεῖν δικαιωθῆναι καθ᾽ ἡμῶν, καὶ
against — Andronikos to-seem to-have-been-justified against us and
ἀκουστὰς θεῷ γενέσθαι τὰς αἰτήσεις αὐτῶν.
heard by-God to-become the requests of-them
396 Καὶ οὕτω μέν, ὡς ἔφθη στενολεσχήσας ὁ λόγος, κατέδυ
and thus indeed as anticipated having-spoken-briefly the account entered
πόλιν ἐκείνην εὐρυάγυιαν ὁ Ἀνδρόνικος. καὶ ἦν σκοπὸς αὐτῷ
city that broad-streeted — Andronikos and was aim for-him
τοῦ λοιποῦ τῶν ἐφεξῆς πράξεων καὶ ἀληθῶς προὔργου
for-the future of-the following deeds and truly to-the-purpose

στερεῶσαι μὲν πρὸς μικρὸν τὴν βασιλείαν ἐμπορικῶς
to-strengthen indeed for little the empire merchant-like
τῷ μικρῷ Ἀλεξίῳ, κατασεῖσαι δὲ τῆς κραταιότητος
for-the little Alexios to-shake-down and from-the power
τήν [τε] μητέρα, ἐπεὶ τὸν ἱστορούμενον πρωτοσεβαστὸν
the both mother when the narrated protosebastos
ἀποσκευάσοιτο, πρωτόλειον ἐκεῖνον Ἐριννύσιν ἐκδούς·
he-should-remove first-spoils that(-one) to-Erinyes having-given-up
καὶ κατέμενεν οὕτω προκεντῆσαι τὰς τῶν πρακτέων
and he-remained thus to-prick-beforehand the of-the things-to-do
ἀρχάς. καὶ ὡσιώσατο μὲν ἐνταῦθα καὶ ὅρκους, καὶ
beginnings and he-sanctified indeed here also oaths also
αὐτοὺς οἵους καὶ ὅσους, ὧν εἷς καὶ ὁ ἐπὶ
them such-as and as-many-as of-which one also the(-one) on
τοῦ μεγάλου πανσεβάστου βήματος τεθεμελιωμένος εἰς
the great all-venerable sanctuary founded on
κρηπῖδα, ἣν οὐκ ἔστι κατασεῖσαι Χριστιανοῖς· εἰς
foundation which not it-is-possible to-shake for-Christians on
αὐτὸ γὰρ ἦν συμπεπηγὼς τὸ αἷμα καὶ τὸ σῶμα τοῦ
itself for was fixed-together the blood and the body of-the
σωτῆρος Χριστοῦ, τὰ πᾶσι φρικτὰ καὶ πάντιμα. ἐδίδου
savior Christ the(-things) to-all awesome and all-honored he-gave
δὲ ὑπονοεῖν ἀσφάλειαν πίστεως βασιλικῆς καὶ τὸ τῆς
and to-suspect security of-faith imperial and the of-the
ταπεινότητος ψευδεπίγραφον· πεδοῖ γὰρ ἑαυτὸν ῥίψας
humility falsely-inscribed on-the-ground for himself having-thrown
ὁ Ἀνδρόνικος καὶ ἁπαλὸν βασιλικὸν πόδα χειρὶ ἄρας
— Andronikos and tender imperial foot with-hand having-lifted
ἠρέμα τῷ σκληρῷ τραχήλῳ ἐπέθετο, φαντάζων ὡς οὕτως
gently on-the hard neck placed imagining that thus
ὑπὸ πόδα τῷ βασιλεῖ ἀεὶ πατήσεται. καὶ οὐ μόνον, ἀλλὰ
under foot to-the emperor always he-will-be-trodden and not only but

καὶ ἐλαφρίσας ἐπεκάθισεν ὤμῳ σφετέρῳ, πρὸς σύμβολον
also having-lightened seated(-him) on-shoulder his-own for symbol
καὶ τοῦτο τοῦ εἰς κεφαλὴν αὐτὸν ἔχειν καθάπερ ὅσιον.
also this of-the on head him to-have as holy
397 Ἦσαν ταῦτα. καὶ οἱ μὲν ἀγχινούστεροι καὶ οἷοι
were these(-things) and the(-ones) indeed sharper and such-as
ἔχειν τὸ ἀληθῶς εὐεπήβολον ὤκνουν πρὸς τῷ ἀνδρὶ
to-have the truly apt shrank with the man
εἶναι, οὐ πάνυ πολλοὶ ἐκεῖνοι, εὖ ὅτι μάλιστα εἰδότες
to-be not very many those(-men) well that most knowing
οἷος πέπλαστο· οἱ δὲ πλείους παρήγοντο
of-what-sort he-had-been-fashioned the(-ones) and most were-led-away
τοῦ ἀληθοῦς, καὶ ἠνθισμένας τὰς ἐκείνου τρίβους
from-the true and flowered the his paths
ὁρῶντες τοὺς βοθύνους οὐχ ὑπεβλέποντο, ἀγαθοὶ καὶ
seeing the pits not suspected good also
οὗτοί γε ὄντες Χριστιανοί, καὶ λογισμῷ διοικούμενοι
these at-least being Christians and by-reasoning governed
ὡς οὐκ ἄρα τοιούτους ὅρκους συγχέαι κατατολμήσει
that not then such oaths to-confound will-dare
ἄνθρωπος γένους εὖ ἔχων, καὶ ὁρῶν τὰ τοῦ θεοῦ
man of-race well having and seeing the(-things) — of-God
ἄλλως ἐπιρρεπῶς ἔχοντα πρὸς αὐτόν, καὶ πεπιστωμένος
otherwise inclining being toward him and having-been-persuaded
χρῆναι βασιλεῦσιν εἴκειν, οἷς ἡ φύσις ἁλυσιδώσασα
it-is-necessary to-emperors to-yield whom the nature having-chained
τὴν βασιλείαν ἡρμόσατο καὶ τὸ τῆς ἀρχῆς μήρυγμα εὖ
the empire fitted and the of-the rule thread well
συνεκλώσατο.
spun-together

Καὶ οὕτω μὲν οἱ ξύμπαντες· ὁ δὲ τὰ πρῶτα 398
and thus indeed the all the(-one) and the(-things) first
κολακείαν σκευωρήσας ὡς ὑπαγαγέσθαι τὸ πολιτικόν,
flattery having-contrived so-as to-lead-on the civic(-body)
καὶ ἀνύσας ὃ προὔθετο, εἶτα καὶ ἀκκίζεσθαι
and having-accomplished what he-proposed then also to-feign-indifference
προεβάλετο, οἷα ἐν τῷ προρρέειν ἐπὶ ἀγαθῷ τῆς πόλεως
he-put-forward as in the to-flow-forward for good of-the city
ἐπιτυγχάνων καταρράκταις, οἵπερ αὐτῷ ἀναχαιτίζουσι
meeting cataracts which for-him rear-up
τὸ ῥεῦμα ὡς εἰς ἀνάρρουν τινά. διὸ καὶ ἀναχωρεῖν
the stream as into back-flow some wherefore also to-withdraw
ἐθέλειν εἰς τὴν τῶν Παφλαγόνων αὖθις ἐσκήπτετο.
to-wish to the(-land) of-the Paphlagonians again he-pretended
τὰ δ' ἦν κότος κατὰ τῶν καὶ εὐγενῶν καὶ
the(-things) and were rancor against the(-ones) both noble and
ἰσχυρῶν εἰς τὸ πᾶν, οὓς μελετῶν κενὰ ὑπώπτευεν
strong on the whole whom practicing vain(-things) he-suspected
ἐναντιωσομένους αὐτῷ. ἦν δὲ ἐν αὐτοῖς κορυφαῖον
going-to-oppose him was and among them chief
μέρος οἱ ὡς ἐρρέθη ἐπὶ γῆς ἄγγελοι, φῦλον ἐκεῖνο
part the as was-said on earth angels tribe that
καὶ γένους ἔχον τὸ ὑπερέχον καὶ ἀνδρίας εὖ ἦκον καὶ
also of-race having the eminence and of-courage well coming and
πίστεως βασιλικῆς καὶ συνέσεως, καὶ ὁ μέγας δοὺξ
of-loyalty imperial and of-understanding and the great duke
ὁ Κοντοστέφανος, ἀνὴρ δραστικὸς καὶ φρενῶν γέμων,
the Kontostephanos man active and of-wits full
καὶ ἕτεροι μυρίοι ὅσοι. ἐλάνθανε δὲ ταῦτα τὸν
and others countless as-many-as escaped-notice and these(-things) the
ὄχλον, καὶ οὐκ ᾔδεσαν ὅτι κατὰ τοιούτων ἀνδρῶν μέμηνε.
crowd and not they-knew that against such men he-raged

διὸ καὶ ἀξιοῦντα μεταπλέειν καὶ ὑποχωρεῖν ὅθεν ἦλθε,
wherefore also asking to-sail-back and to-withdraw whence he-came
διὰ τὸ μηδὲν ἔχειν σπουδαῖον πράττειν τῇ ἐκ τῶν
because-of the nothing to-have serious to-do by-the from the
πολλῶν κωλύμῃ, ἐπεῖχον ἐγκείμενοι, προσκλαίοντες,
many hindrance they-held-back pressing weeping-to
ποτνιώμενοι, γουναζόμενοι πρὸς θεοῦ καὶ ψυχῆς καὶ τῶν
beseeching clasping-knees by God and soul and the
φιλτάτων, καὶ ἐνδιδόντες ἐξεῖναι αὐτῷ κατὰ πάντων
dearest(-things) and granting to-be-allowed for-him over all
κρατεῖν, εἰς ὅπερ ἂν αἱροῖτο· μὴ γὰρ ἄν φασι διὰ
to-rule to whatever — he-might-choose not for — they-say because-of
τούσδε ἢ ἐκείνους τὸ πᾶν ἐξολέσθαι. ἀφίησιν οὖν ἐπὶ
these or those the all to-perish lets-go then at
τούτοις ὁ Ἀνδρόνικος τὴν θρύψιν ἐκείνην, καὶ βαθμίδα
these(-things) — Andronikos the affectation that and step
ταύτην πρώτην ὑπαναβὰς τοῦ μέγιστα δύνασθαι διὰ
this first having-gone-up of-the greatest(-things) to-be-able because-of
τὴν δημοτικὴν ἰσχύν, οὕτω προσκολλωμένην αὐτῷ καὶ
the popular strength thus being-glued to-him and
τὸ κατ᾽ αὐτὸν ὀλίγον εἰς μυρίον ἐπαύξουσαν, βαθύνει
the(-part) at him little into countless increasing deepens
σκέμμα λαβυρινθῶδες. καὶ τέως τρέπεται κατὰ τοῦ
plan labyrinthine and for-a-while turns against the
ἀρχιερέως, οὐ δεσμοῦ μόνον ἀλλὰ καὶ τοῦ μὴ εἶναι ὅλως
high-priest not of-bond only but also of-the not to-be at-all
ἀξιῶν ἐκεῖνον ὡς ἑαυτῷ δύσχρηστον, καὶ μάλισθ᾽ ὅτι
deeming-worthy that(-one) as to-himself troublesome and most-of-all that
καὶ ᾔσθετο προορώμενον ἃ πράξει οὗτος εἰς τὸν
also he-perceived(-him) foreseeing what will-do this(-one) to the

βασιλέα κακά. ἤσθετο δὲ τρόποις πολλοῖς, ὧν εἷς καὶ
emperor evils he-perceived and in-ways many of-which one also
οὗτος διακεκήρυκται.
this has-been-proclaimed

V · THE TYRANNY BEGINS

The old patriarch reproaches Andronikos, who has the empress mother drowned and arrests men of the senate. His instruments are named, chief among them Stephen Hagiochristophorites, and his partisans reject the young emperor and fall down before Andronikos.

Ὠνείδισέ ποτε ὁ Ἀνδρόνικος τὸν ἐν ἁγίοις γέροντα, ὅτι 399
reproached once — Andronikos the among saints old-man that
βασιλεωπάτορα τόπον ἐπέχων οἷς ἐπιτροπεύει τοῦ
emperor's-father place holding by-which he-is-guardian of-the(-one)
βασιλεύοντος, οὐ συχνὰ παραβάλλει ἐπισκέπτεσθαι τὸν
reigning not often he-goes to-visit the(-one)
εἰς υἱὸν τεθειμένον, τοιοῦτον ὄντα. ὁ δ' ὑπειπὼν
as son set such being the(-one) and having-replied
ἀρκεῖν εἰ διαλείπων βραχέα ἥκει πρὸς ἐπίσκεψιν τοῦ
to-suffice if at-intervals short he-comes for visit of-the
παιδὸς ἄνθρωπος τοσούτοις μεριζόμενος πράγμασι, καὶ
child man by-so-many divided matters and
οὕτως ἠπίως τῷ τοῦ Ἀνδρονίκου προσενεχθεὶς ὀνειδισμῷ,
thus gently to-the — of-Andronikos having-met reproach
εἶτα καὶ καυτῆρα δριμὺν ἐπήγαγε, προσεπειπὼν ὡς ἄλλως
then also cautery sharp he-applied having-added that especially
τε καὶ ἐξεφρόντισα ἤδη τὸν βασιλέα ἐνδεδημηκότα σε
— also I-have-ceased-to-care already the emperor having-come-home you
ἐξευρών. εἶπεν ὁ γέρων, καὶ Ἀνδρόνικος (ἦν γὰρ ὀξύς,
having-found said the old-man and Andronikos was for sharp

ὥσπερ στρεβλὰ εἰπεῖν, οὕτω καὶ ὑπονοῆσαι τὰ μὴ
just-as twisted(-things) to-say so also to-suspect the(-things) not
βαθέως ἑλικτά) πυνθάνεται τοῦ σοφοῦ γέροντος πῶς ποτὲ
deeply winding asks of-the wise old-man how ever
ἂν εἴποι δι' αὐτὸν ἐκπεφροντικέναι τὸν βασιλέα.
— he-might-say because-of him to-have-ceased-to-care the emperor
καὶ ὁ μέγας θατέρῳ σκέλει τοῦ σημαινομένου τῆς
and the great on-the-other leg of-the meaning of-the
ἐκφροντίσεως ἐνερεισάμενος, φάναι εἶπε τὸν λόγον, καθότι
ceasing-to-care having-leaned to-say said the word because
σοῦ εἰς ἀστραβῆ κίονα ὑποστήσαντος ἑαυτόν, βαστάζειν
you as unbending pillar having-set-under yourself to-carry
τὰ ὑπὲρ τοῦ παιδός, αὐτὸς ἀπεφορτισάμην τὸ πολὺ τοῦ
the(-things) for the child I unloaded the much of-the
φροντίζειν, ἀναθέμενος ὡς ἰσχυρῷ σοι αὐτῷ τὰ βαρήματα.
to-care having-laid-on as on-strong you yourself the burdens
ἡσυχάζει ἐνταῦθα ὁ Ἀνδρόνικος, καὶ τὸν θυμὸν ὑπενδακὼν
is-quiet here — Andronikos and the anger biting-down
καὶ τοῦτο μόνον ἀκροβολισάμενος δίχα ῥοίζου λιγέος κατὰ
and this only having-skirmished without whizzing shrill against
τοῦ γέροντος, ὡς ἄρα βαθὺς Ἀρμένιος. καὶ παραμίξας τῇ
the old-man as then deep Armenian and having-mixed-in with-the
βαρύτητι καὶ σαρκασμὸν τὸν ἄχρι καὶ μειδιάματος, ἀρχὴν
gravity also sarcasm the as-far-as even of-smile beginning
ἐκεῖθεν ἔθετο τρανέστερον μελετᾶν. καὶ εἰς τοσοῦτον ἐξίκετο
thence he-made more-clearly to-practice and to so-much he-came
δραστηριότητος ὡς μετὰ μικρὸν ἐπαναστῆσαι καὶ ἐπιστῆσαι
of-energy so-that after little to-raise-up and to-set-on
τοὺς χύδην πικροὺς ἕως καὶ εἰς ἐσχάτην θρασύτητα,
the(-ones) in-a-mass bitter until even to last daring
ὡς καὶ διαχρησθῆναι κίνδυνον γενέσθαι τὸν ἀρχιερέα μετὰ
so-that also to-be-killed danger to-be the high-priest after

πολλὰς ὕβρεις, ὁποίας καὶ Ἰουδαῖοι ἐτοξάσαντο ἂν κατὰ θεοῦ.
many insults such-as also Jews shot — against God
καὶ εἰ μὴ τεχνησάμενος ὁ γέρων ἑαυτῷ τὰ σωτήρια
and if not having-contrived the old-man for-himself the(-things) saving
ἐκ μέσων κρυβεὶς ἀπεσύρη, ἀποδυσάμενος, ὡς ἐχρῆν,
from middle hidden he-withdrew having-stripped-off as it-was-needful
τὸ ἄρχειν, ἔπαθεν ἂν ὅπερ οὐκ ἦν αὐτῷ ἐθέλοντι.
the to-rule he-would-have-suffered — what not was to-him wishing
Καὶ αὐτὸς μὲν οὕτω ξυνέστειλεν αὐτόν, ἀφεὶς καθ' ἑτέρων 400
and he indeed thus contracted himself having-let against others
μεμηνέναι τὸν Ἀνδρόνικον. ὁ δ' ἐπεὶ οὐκέτι προβλῆτι
to-rage — Andronikos the(-one) and since no-longer by-projecting
σκοπέλῳ τινὶ ἀνεκρούετο, ἐξεκύμαινεν ὀλέθρια κατὰ
rock some was-checked he-swelled-out destructive(-things) against
πάντων, οὐχ ὥστε καὶ εἰπεῖν "ὅς τε αἴτιος ὅς τε καὶ
all not so-as also to-say who both (was)-cause who both also
οὐχί," ἀλλὰ κατὰ τῶν μηδὲν ὅλως αἰτίων, τὸ ἀδικώτατον·
not but against the(-ones) nothing at-all guilty the most-unjust
καὶ τήν τε τοῦ βασιλέως περιγράψας μητέρα ἐν τῷ σεμνείῳ
and the both of-the emperor having-confined mother in the convent
τοῦ ἐν ἁγίοις σοφοῦ ἰατῆρος Διομήδους, ἐπισχὼν οὐ πολὺν
of-the among saints wise healer Diomedes having-held not much
χρόνον ἀπῆγέ τε καὶ ἐβύθισεν, ὑπουργοῖς χρησάμενος ὧν
time led-off both and drowned servants having-used of-whom
ἐνίους ὁ καταβραβεύων αὐτοῦ θυμὸς οὐ πολλῷ ὕστερον εὖ
some the judging-against him anger not much later well
ποιῶν ἐτίσατο, παιδεύοντος ἡμᾶς καὶ οὕτω τοῦ θεοῦ ὡς καὶ
doing punished teaching us also thus — God that both
ὁ ἐπιτάσσων τὰ φαυλότατα καὶ ὁ ὑποτασσόμενος
the(-one) ordering the basest(-things) and the(-one) obeying
τοῦ προσώπου πειρῶνται τοῦ θεοῦ ὁποίου οἶδε Δαυίδ.
the face try — of-God of-what-sort knows David

401 Τοῦτό τε οὖν οὕτως ἐξήμαρτε, καὶ σύγκλητον δὲ θέμενος
this both then thus he-sinned and senate too having-set
ἀνδρῶν λογάδων ἁπάντων τῶν τοῦ μεγίστου γένους, κατά
of-men chosen of-all of-the of-the greatest race on
τινα ἡμέραν ἣν καὶ ἐγγράψηταί τις ἂν εἰς ἀποφράδα
some day which also might-enter one — into unlucky
δεινήν, συλλαμβάνει ἐκείνους ὡσεὶ καὶ ἰχθύας τινὰς ἐν
terrible seizes those as-if also fish some in
ἀφύκτῳ πανάγρῳ, δίχα γε τῶν καλῶν Ἀγγέλων, οἳ καὶ
inescapable net apart at-least from-the noble Angeloi who also
οἷα πτερυξάμενοι ἐς φυγὴν ἐσκορπίσθησαν. καὶ διατίθεται
as-if having-taken-wing to flight were-scattered and treats
πάντας ὡς οὐκ ἂν εὐλογήσοι τις, λαβὰς ἐπικαλῶν
all as not — would-bless one holds bringing-against
ἑκάστοις τὸ κατὰ βασιλέως ἐνδομυχεῖν, ἐκείνου (εὐστόχως
each the against emperor to-lurk that(-one) aptly
εἰπεῖν) ἀλιτήριος. καὶ ὀλίγους μέν τινας ἐδικαίωσεν εἰς
to-say wicked and few indeed some he-condemned to
εἱρκτήν, ἦσαν δὲ οἳ καὶ ἐξ ὀμμάτων ἐγένοντο, πλείους
prison were and who also from eyes became more
γε οὗτοι. τινὰς δὲ καὶ ἐς ἀειφυγίαν ὑπερορίους ἔστειλε.
at-least these some and also to perpetual-exile beyond-the-borders he-sent
μετὰ βραχὺ δὲ καὶ τοὺς καθειρχθέντας ὑποδιελὼν
after short and also the(-ones) imprisoned having-subdivided
ἐμέρισεν εἴς τε τυφλοὺς ἐκ σιδήρου καὶ μὴ τοιούτους, ὡς
he-divided into both blind from iron and not such so-that
ἄν, οἶμαι, βλέποντες αὐτοὶ τοὺς πεπηρωμένους ἀεὶ ζῶσιν
— I-think seeing they the maimed always may-live
ἔμφοβοι καὶ συνεπαύξωσιν οὕτω τὸ κακὸν τῆς καθείρξεως.
fearful and may-increase thus the evil of-the imprisonment

Οὐ πολὺν δὲ χρόνον μείνας ἐπιβαλεῖν ἐφίεται καὶ τῷ
not much and time having-stayed to-lay-hold-on he-aims also at-the
ὑπερανεστηκότι βαθμῷ, καταγνοὺς τῆς πρώτης ἐκείνης
over-raised step having-condemned the first that
βαθμίδος ὡς ταπεινῆς. γογγυσμὸς τοίνυν αὖθις αὐτῷ
step as low grumbling therefore again by-him
τεχνᾶται, καὶ βαρύτης προβάλλεται καὶ φόρτος φροντίδων
is-contrived and heaviness is-put-forward and burden of-cares
οὐ φορητός, καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ στερκτέα εἰ οὕτω
not bearable and that not — would-be for-him to-be-borne if thus
πάσχειν κινδυνεύει τρόποις πολλοῖς. ἔπασχε δὲ ἄρα οὐδέν,
to-suffer he-risks in-ways many he-suffered and then nothing
ἀλλ' ἐνδόμυχος ἦν πολλοὺς αὐτὸς ὑποβαλεῖν καὶ εἰσαῦθις
but within(-his-mind) was many he to-subject and hereafter
ἀτλήτοις παθήμασιν. ὡς δὲ ἐπέμενε μακρὰ γογγύζων
to-unbearable sufferings as and he-continued long grumbling
καὶ κατὰ σχῆμα δυσανασχετῶν, καὶ τῇ μὲν ψυχῇ
and in show being-vexed and with-the indeed soul
νεμόμενος βασιλικῶς τὴν μεγαλόπολιν, τῇ δὲ γλώσσῃ
dwelling imperially the great-city with-the and tongue
τὴν Παφλαγονίαν προφέρων καὶ ἅπερ αὐτὸς ἐρρητόρευεν
— Paphlagonia putting-forward and what he spoke-eloquently
ἐκεῖσε καλά, ὧν δῆθεν Κωνσταντινούπολις ἐστέρετο,
there fine(-things) of-which forsooth Constantinople was-deprived
καὶ θησαυροὺς ἐκόμπαζεν ἐκεῖ πεφυλαγμένους αὐτῷ, Φανίου
and treasures boasted there being-guarded for-him of-Phanios
δή τινα θύραν, καὶ αὐτὸς ταύτην ἀναπλαττόμενος τοῖς
indeed some door and he this fabricating to-the(-ones)
ἀγνοοῦσιν οἷα τύχη αὐτὸν τὰ πρὸ τούτων ἤλαυνε,
not-knowing such-as fortune him the(-things) before these drove
καὶ ἦσαν τὰ τοιαῦτα προβλήματα φωνασκούμενα τῷ
and were the such pretexts being-declaimed by-the

ἀνδρὶ ἐν συχνοῖς ὄχλοις καὶ συνεχῶς, καί ποτε καὶ παρά
man in frequent crowds and continually and at-times also among
τισι τῶν θερμοτέρων ἐν τῷ κοινῷ, καὶ οὓς οὐδέν τι
some of-the hotter(-heads) in the public and whom nothing at-all
ἐκφοβεῖ διὰ τὸ μὴ ἔχειν πρᾶγμα καθ' ὃ δεδίξονται,
frightens because-of the not to-have matter by which they-will-be-frightened
καὶ ἤρεσε τοῖς τοιούτοις ἀναβοῆσαι ὡς, εἰ μὴ καλά σοι
and it-pleased to-the such(-ones) to-cry-out that if not fine(-things) to-you
τὰ ἐνταῦθα, οὐδ' ἔστι προσμένειν ἐπ' ἀγαθῷ τῆς
the(-things) here not-even it-is-possible to-remain for good of-the
μεγαλοπόλεως, τίς ἂν εἴη ὁ προσίστασθαι φρονῶν
great-city who — would-be the(-one) to-oppose minded
σωτηρίᾳ τοιούτου ἀνδρός; καὶ ὅτι ἡ ὁδηγήτρια ἡ πολιοῦχος
to-safety of-such man and that the Hodegetria the city-protectress
ἡμῶν ἀρκέσει αὐτὴ ἀντὶ πάντων καταπράξεσθαι τὰ
of-us will-suffice she instead-of all to-accomplish the(-things)
ἡμῖν σύμφορα, — ὡς τοίνυν, ἐφ' οἷς παίζων ἐλάλει, οὕτως
for-us profitable as therefore at what in-play he-spoke thus
ἐμπεφορβίωτο, σιγᾷ εὐθύς, τὴν ὑποκριτικὴν σκηνὴν
he-had-been-muzzled he-is-silent at-once the hypocritical stage
καθελὼν καὶ μηδέν τι πλέον εἰπεῖν προσθέμενος. καὶ
having-taken-down and nothing at-all more to-say having-added and
γοῦν τὴν μηχανὴν ταύτην εἰς κενὸν ἰδὼν σχάσασαν,
at-any-rate the device this into vain having-seen having-fallen
καί που καὶ αὐτὸς παροιμιωδῶς εἰπὼν ὡς αὕτη μὲν
and somewhere also himself proverbially having-said that this indeed
ἡ μήρινθος ἡμῖν οὐδὲν ἔσπασε, καὶ τὸν ἀκκισμὸν τοῦ
the line for-us nothing drew and the coyness of-the
ἐθέλειν ἀπελθεῖν γνωματεύσας οὐκ ἀγαθὸν εἶναι, οἷα τοῦ
to-wish to-depart having-judged not good to-be as the
σχηματισμοῦ καὶ τοῦ χρώματος ἀναποιοῦντος ἅπερ κατὰ
pose and the color undoing what against

τῆς βασιλείας ἐβουλεύσατο, καὶ ἀποτελοῦντος αὐτὸν ἀντὶ
the empire he-planned and making him instead-of
ἄρχοντος ὕπαρχον, ἑτέρας γίνεται σοφωτέρας περιεργίας.
ruler subordinate of-another he-becomes wiser of-officiousness
ἡ δὲ ἦν μηκέτι ἀμέσως τοὺς ὀχλικοὺς καὶ ξύγκλυδας
the(-one) and was no-longer directly the mob and rabble
εἰς ὁμιλίαν ἀξιοῦν ἥκειν αὐτῷ, ἀλλὰ τοὺς ἐν αὐτοῖς
into converse to-deem-worthy to-come to-him but the(-ones) among them
προύχοντας καὶ οἵους ἔχειν περιάγειν τοὺς πλείονας καὶ
prominent and such-as to-be-able to-lead-about the more and
κεφαλαρχεῖν ὡς ἐν οὐραῖς. ἀλιτήριοι ἄνθρωποι ἐκεῖνοι,
to-head as in tails wicked men those
φιλοστασιασταί, ὀχλοκόποι, βασιλεῖς οἷον ἕκαστος περὶ
faction-loving mob-courting kings as-it-were each about
τοὺς ὁμοήθεις. φιλοῦμεν γὰρ οἱ ἐλαφρότεροι εὐκόλως
the like-minded we-love for the lighter(-ones) easily
ἕπεσθαι κελεύουσι τοῖς πρὸς ἃ πεφύκαμεν ὁδηγοῦσι·
to-follow bidding to-the(-ones) to what we-are-inclined guiding
πεφύκαμεν δὲ οἱ πολλοὶ πρὸς τὸ φιλόκαινον, ἐπιθυμηταὶ
we-are-inclined and the many to the novelty-loving desirers
ὄντες καινῶν ξυμβαμάτων, καὶ τὸν χρόνον ἀπαιτοῦντες
being of-new events and the time demanding
ἐγκαινίζειν ἡμῖν ἄλλο τε ἄλλα ξενίζοντα.
to-make-new for-us other both other(-things) strange
Οἱ τοίνυν τῶν τοῦ δήμου τὰ πρῶτα φέροντες 403
the(-ones) therefore of-the(-ones) of-the people the first(-places) bearing
καὶ ἀνεγείρειν τοὺς λοιποὺς ἔχοντες, προβληματισθέντες
and to-rouse the others being-able having-been-given-the-problem
οἷον ὑπὸ τοῦ Ἀνδρονίκου τὸ βουλητέον ἐκείνῳ,
as-it-were by — Andronikos the(-thing) to-be-wished by-that(-one)
εἶτα τόπους αὐτοὶ ἐξεύρισκον κατὰ τοὺς δεινοὺς τοιαῦτα
then places they found according-to the clever such(-things)

σοφίζεσθαι, δι' ὧν ἐπιχειρήσαντες συμπερανοῦσι τὸ
to-devise through which having-attempted they-will-accomplish the
ἔκτοπον καὶ (ὀκνητέον δὲ εἰπεῖν) καὶ ἄτοπον· καὶ
outlandish and one-must-shrink too to-say and absurd and
μυστηριασθέντες τὸ μὴ ὅσιον ἐτελοῦντο πρὸς ἐκεῖνο,
having-been-initiated the not holy they-were-consecrated to that
καὶ ἐδᾳδούχουν εἰς ἐμφανὲς τὰ σκότους ἄξια, καὶ
and they-bore-torches into open the(-things) of-darkness worthy and
ἀναπείσαντες τοὺς ὄχλους μὴ ἂν ἐκφυγεῖν τὴν πόλιν τὸ
having-persuaded the crowds not — to-escape the city the
ἀπολεῖσθαι, εἰ μὴ τῷ μικρῷ καὶ ἀγυμνάστῳ Ἀλεξίῳ
to-perish if not with-the little and untrained Alexios
τὰ εἰς βασιλείαν τὸν Ἀνδρόνικον συνδυάσουσιν, εὖ
the(-things) for empire — Andronikos they-will-yoke well
μάλα δεδασμένον καὶ τὰ εἰς τοιαύτας τέχνας, οἷόν τε
very learned and the(-things) for such arts able —
ὄντα συνδιαφέρειν ἐκείνῳ τὸν βασίλειον ζυγόν, οὐχ ὥστε
being to-carry-with that(-one) the imperial yoke not so-as
μὴν καὶ καταρριπτεῖν, ἀλλὰ καὶ μάλιστα ὑπανέχειν καὶ
indeed also to-throw-down but also most to-hold-up and
τὴν ἐκείνου μεγαλύνειν σμικρότητα κοινωνίᾳ μὲν ἀξίας
the his to-magnify smallness by-sharing indeed of-rank
μιᾶς, ὑπεροχῇ δὲ κόπων καὶ πόνων, οἷς ὁ Ἀνδρόνικος
one by-pre-eminence and of-labors and toils to-which — Andronikos
εἴθιστο ἄδδην, πολυπλάνοις πλάναις κατὰ τὸν
had-been-accustomed abundantly by-much-wandering wanderings according-to the(-one)
εἰπόντα γεγυμνασμένος, ἤγειραν οὐκ ὀλίγους ἀναπεισθῆναι
having-said trained they-roused not few to-be-persuaded
ὀρθῶς ἀκούειν καὶ διαθερμανθῆναι εἰς ἐξάνυσιν τοῦ
rightly to-hear and to-be-heated for accomplishment of-the
συνάρχειν βασιλικῶς τόν τε Ἀλέξιον τόν τε Ἀνδρόνικον.
to-rule-jointly imperially — both Alexios — both Andronikos

καὶ τὴν ἀρχὴν μὲν ὑπεψιθυρίζετο ἠρέμα τὸ σόφισμα, μετὰ
and the beginning indeed was-whispered quietly the sophism after
δὲ ἐλαλεῖτο, μικρὸν δὲ ὅσον καὶ ἐξεβοᾶτο τρανέστερον.
and was-talked-of little and as-much-as also was-shouted-out more-clearly
καὶ ἔδει λοιπὸν ἐμφανῶς προκληθῆναι εἰς τὴν ἀρχὴν
and it-was-needful henceforth openly to-be-summoned to the rule
τὸν Ἀνδρόνικον, καὶ εἰ μὴ πείθοιτο, ἀλλὰ τότε
— Andronikos and if not he-should-be-persuaded but then
δυσωπηθῆναι· εἰ δὲ μηδὲ οὕτω κατακλίνοιτο ἀτενῶς
to-be-shamed if and not-even thus he-should-yield intently
ἔχων, πειραθῆναι καὶ βίας, καὶ κάλλιόν φασιν ὂν παθεῖν
being to-be-tried also with-force and better they-say being to-suffer
ἐκεῖνον ὃ μὴ βούλεται, τὸ βασιλεῦσαι δηλαδή, ἤπερ
that(-one) what not he-wishes the to-reign namely than
ἐξολέσθαι τὰ κοσμικά. καὶ ἑταιρίζονται μὲν εἰς τοῦτο
to-perish the(-things) of-the-world and associate indeed for this
πολλοὶ τῶν τοῦ λαοῦ, συνεπιρρέει δὲ τῷ κλύδωνι
many of-the(-ones) of-the people flows-in-with and to-the surge
τούτῳ καὶ ἀπόρροιά τις τῶν τῆς συγκλήτου, οὐ πολλὴ
this also outflow some of-the(-ones) of-the senate not much
μέν, ἐπίρρητος δὲ καὶ τοῦτό γε ἡμῖν ἀπόρρητος. οὐ γὰρ
indeed notorious and also this at-least for-us unspeakable not for
ἁπλῶς ἀφωσιοῦτο αὕτη τὴν κατὰ τοῦ βασιλέως Ἀλεξίου
simply discharged this the against the emperor Alexios
νεωτέρισιν κατὰ χάριν Ἀνδρονίκου, ἀλλ' ὡσεὶ καὶ μεμηνυῖα
revolution for favor of-Andronikos but as-if also maddened
βυσσόθεν ἐκυκᾶτο καὶ τὸν Ἀνδρόνικον συνεξέμαινε.
from-the-depths was-stirred and — Andronikos maddened-with
Καὶ ἔσονται ἀοίδιμοι ἐν τούτοις οἱ τῆς ἡμέρας ἐκεῖνοι 405
and will-be celebrated in these the of-the day those
πιστοί, Κωνσταντῖνος ὁ Πατρηνός, τὸ τῆς κολακείας
faithful(-ones) Constantine the Patrenos the of-the flattery

ἠκριβωμένον ἀφίδρυμα, καὶ ὁ ἁπλούχειρ Μιχαήλ, ἀνὴρ
exact image and the simple-handed Michael man
γλοιὸς μὲν πολιτεύσασθαι στρυφνὸς δὲ πονηρεύσασθαι. ἦν
slippery indeed to-play-the-citizen sour and to-play-the-knave was
δὲ καί τις ἀνὴρ λάμπων ἐν τοῖς τοιούτοις ὡσεί που
and also some man shining in the such(-ones) as-if somewhere
καὶ φρυκτὸς ὀλέθριος, μέσος ἦν ὅτε τὴν τύχην, πατρὸς
also beacon destructive middle was when the fortune of-father
ἐκφὺς δεξιοῦ λογίζεσθαι τὰ δημόσια καὶ ἐμβαθύνειν
having-sprung from-a-skillful to-reckon the public(-accounts) and to-go-deep
κλέμμασιν· Στέφανος μὲν τὸ κύριον, τὸ δὲ ἐπ᾽ αὐτῷ
in-thefts Stephen indeed the proper(-name) the(-name) and on him
Ἁγιοχριστοφορίτης· ὃς μεταθέμενος ἐξ ὧν ὁ κατὰ
Hagiochristophorites who having-been-changed from what the(-one) according-to
θεὸν διάκειται, Ἀντιχριστοφορίτης παρωνυμεῖτο τοῖς
God is-disposed Antichristophorites was-nicknamed by-the(-ones)
ὀρθὰ νοοῦσι. τοῦτον ὁ μὲν φθάσας χρόνος παρεσημήνατο
right thinking this(-one) the indeed former time marked
εἰς ἀνδριάντα φαυλότητος. κηδεύσας γὰρ οὐ καθ᾽
for statue of-baseness having-married for not according-to
ἑαυτόν, ἀλλὰ πανουργευσάμενος ὑπὲρ ἀξίαν γάμον εὐγενῆ,
himself but having-schemed beyond worth marriage noble
δέδωκε τιμωρίαν οὐκ ἀγεννῆ· τὰς ῥῖνάς τε γὰρ ἀπεσχίσθη
he-paid penalty not ignoble the nostrils both for he-had-slit
ἅτε μὴ καλῶς φριμαξάμενος καθ᾽ ἧς οὐκ ἔπρεπε, καὶ
as not well having-snorted against whom not it-was-fitting and
τῶν αὐτοῦ νώτων σωφρονιστῆρες ἱμάντες κατεχόρευσαν.
of-the his back chastening thongs danced-on
καὶ ὅμως ἰταμὸς ὢν καὶ τὴν αἰσχύνην ἀπὸ προσώπου
and nevertheless reckless being and the shame from face
θέμενος οὐκ ἀπήγαγεν ἑαυτὸν τοῦ προφαίνεσθαι, μὴ καὶ
having-put not withdrew himself from-the to-show-himself lest also

γελῷτο, ἀλλ' οἷα μηδέν τι κακὸν δεδρακὼς περιήρχετο
he-be-laughed-at but as nothing any evil having-done he-went-about
ἔνθα καὶ πρώην, φιλενδεικτῶν τὸ θράσος καὶ ἐπιδεικνύμενος
where also lately showing-off the boldness and displaying
τὸ μὴ αἰδεῖσθαι, καὶ οὕτω βιαζόμενος τὸ μηδέν τι φαῦλον
the not to-be-ashamed and thus forcing the nothing at-all base
ἢ ποιῆσαι ἢ παθεῖν. ὡς δὲ περιεωρᾶτο πρὸς πάντων,
either to-have-done or to-have-suffered as and he-was-overlooked by all
καὶ τοῦ γάμου τε τοῦ ὑψηλοῦ ἦν ἔκπτωτος καὶ οὐδέ τινα
and from-the marriage both the lofty was fallen and not-even any
εἶχεν ἄλλην ἀνάβασιν, ἀλλ' ἐν κενοῖς τὰς βασιλείους θύρας
had other ascent but in vain the imperial doors
ἐξέτριβε, λαγχάνει ποτὲ προηκάμενος ἔπος ἄλλως μὲν
he-wore-out he-happens once having-let-fall word otherwise indeed
σφαλερόν, ἑαυτῷ δὲ ἀναστάσιμον. ὡς γὰρ ὁ Μαυροζώμης
dangerous for-himself and raising-up as for — Maurozomes
Θεόδωρος ὁ ἐκ Πελοποννήσου, ἄνθρωπος πολυμεμφὴς ἐφ'
Theodore the from Peloponnese man much-blamed for
οἷς ὑπὲρ τὸ δέον ἔδρα, μετὰ θάνατον τοῦ Ἁγιοθεοδωρίτου
what beyond the needful he-did after death — of-Hagiotheodorites
Μιχαὴλ τοῦ ἐν ὑπογραφεῦσι βασιλικοῖς μεγάλου,
Michael of-the(-one) among secretaries imperial great
ἔγγιστα τῷ βασιλεῖ γεγονὼς ὑπερεφαίνετο, οἱ μὲν ἄλλοι
nearest to-the emperor having-become rose-to-view the indeed others
ἐχεφρονοῦντες ἔπεττον εἴ τί που χόλου καὶ εἶχον ἐφ'
being-prudent digested if any somewhere of-bile and had(-it) for
οἷς μὴ ἀνέβαινον, ὁ δὲ πρὸ τῆς βασιλείου σκηνῆς
what not they-went-up the(-one) and before the imperial tent
καθήμενος ἐξεβόησεν εἰς πολλῶν ἀκοὰς λόγῳ σχετλιασμοῦ
sitting cried-out into of-many ears by-way of-complaint
ἄδικα πάσχειν, εἴπερ ὁ δεῖνα μὲν καὶ ὁ δεῖνα, οὐκ
unjust(-things) to-suffer if-indeed the so-and-so indeed and the so-and-so not

εἰς τοσοῦτον κακοὶ πεφηνότες, εἶτα ὑψοῦνται, αὐτὸς δὲ
to such(-degree) wicked having-appeared then are-exalted himself and
φαυλεπίφαυλος ὤν, καὶ ὡς ἄν τις κωμικευόμενος εἴποι,
worst-of-the-worst being and as — one comically might-say
μιαρὸς καὶ παμμίαρος καὶ μιαρώτατος, καὶ ἄνθος κακίας
foul and all-foul and foulest and flower of-vice
καὶ πονηρίας ἄβυσσος, καὶ οἷος διορᾶσθαι ὅσα καὶ
and of-wickedness abyss and such-as to-see-through as-much-as even
δαίμων, ἀφίεται ζῆν εἰκῇ, καὶ οὐκ εἰς μέσον παράγεται,
demon is-let to-live at-random and not into middle is-brought
τὰ οἰκεῖα ἐπιδειξόμενος καὶ ἀρέσων εἰς πλουτοποιίαν.
the(-things) own going-to-display and going-to-please for wealth-making
ἐπῆγε δὲ ἑαυτῷ καὶ ὅρκον μέγιστον, μὴ ἂν εὑρήσεσθαι
brought and on-himself also oath greatest not — to-be-found
τὸν ἐπὶ κακίᾳ ἴσον. ἔφη ταῦτα στηλογραφῶν ἑαυτὸν
the(-one) in vice equal he-said these(-things) inscribing himself
καὶ περιαυτολογῶν ὡς αὐτῷ ἔπρεπε, καὶ ἐπὶ πᾶσιν
and speaking-of-himself as for-him was-fitting and at all(-things)
ἐστέναξεν ὡς βαρυπενθῶν, καὶ ἐξεπυρώθη χόλῳ τὸ
he-groaned as grieving-heavily and was-fired with-bile the
πρόσωπον. καὶ οἱ μὲν ἄλλοι ἐταράχθησαν πρὸς τὸν λόγον
face and the indeed others were-troubled at the word
καὶ ἐκαραδόκουν κακά, λογιζόμενοι ὡς οὐ μόνον αὐτὸς
and expected evils reckoning that not only he
δεινὰ πείσεται αὐτίκα, τῆς βοῆς ἐντὸς ἀκουσθείσης καὶ
terrible(-things) will-suffer at-once the cry inside having-been-heard and
εἰς ὕβριν τῷ βασιλεῖ λογισθείσης, ἀλλὰ καὶ αὐτοὶ πρὸς
as outrage to-the emperor reckoned but also they to
μέμψεως ἔσονται, ὅτι μὴ θυμὸν κατὰ τοιούτου ἀνδρὸς
blame will-be because not anger against such man
ἀνέλαβον. καὶ αὐτοὶ μὲν οὕτως· τοῦ δὲ καθ' ἡμᾶς βίου
they-took-up and they indeed thus of-the and concerning us life

τὸ χρεὼν οἷς ἡμάρτομεν τότε μὲν ἀθῷον ἀφῆκε μεῖναι
the fate for-what we-sinned then indeed unpunished let to-remain
τὸν ἄνδρα, μέγα καὶ τοῦτο δοκοῦν εἶναι· οὐ μακρὸς δὲ
the man great also this seeming to-be not long and
διέσχε χρόνος, καὶ ἤρξατο παρυψοῦσθαι ὁ ἄνθρωπος, καὶ
passed time and began to-be-raised the man and
κηρύξας ἑαυτὸν πονηρότατον εὕρηκεν ἐπὶ πείρᾳ γέρας
having-proclaimed himself most-wicked found in trial reward
ὅμοιον, ὡς εἰ καὶ δεινός τις κλέπτειν εἶναι ἀνακηρύξας
like as if also clever one to-steal to-be having-proclaimed
προσληφθείη ποθέν. καὶ ἐκεῖθεν ἀρξάμενος τοῦ κατὰ
should-be-taken-on from-somewhere and from-there having-begun of-the in
βίου ὕψους γίνεται ἐπὶ τοῦ στρατοῦ, καὶ εὑρεθεὶς ἐπὶ
life height becomes over the army and having-been-found under
τοῦ Ἀνδρονίκου τοιοῦτος προσλαμβάνεται. καὶ ἡ καθ'
— Andronikos such is-taken-on and the against
ἡμῶν πτερωθεῖσα συμφορὰ αἴρει αὐτὸν ἐπὶ πλέον ὑψοῦ,
us winged misfortune lifts him to more aloft
καὶ εἰς ψυχὴν ἐντήκει φιλίως τῷ Ἀνδρονίκῳ, ἵνα πάγχυ
and into soul melts friendly — to-Andronikos so-that utterly
κακὸς κακὸν ἠγηλάζῃ, καὶ μὴ τὰ καλὰ τοῖς κακοῖς
evil evil might-lead and not the good(-things) with-the evil(-ones)
συμφύρηται, καὶ ὁ ὅμοιος εἰς τὸν ὅμοιον ἄγηται. καὶ
be-mixed and the like to the like be-brought and
οὕτω φρονηματισθεὶς εἰς πλέον, καὶ οὐκ ἀνασχόμενος εἰ
thus having-been-made-proud to more and not enduring if
καιρὸν ἄρτι ἐξευρὼν οὐ πτερύξεται, καθά τι δαιμόνιον
time now having-found not be-will-take-wing as something demonic
πρόσωπον, πειρᾶται ὑπερπαίειν αὐτὸς εἰς τὸ κακὸν πάντας
person tries to-surpass himself in the evil all
τε τοὺς ὡς ἐρρέθη τοῦ δήμου προάγοντας καὶ δὴ καὶ
both the(-ones) as was-said of-the people leading and indeed also

ἑαυτόν. καὶ συλλαβόμενος ὅσοι τῆς καλῆς συγκλήτου
himself and having-collected as-many-as of-the good senatorial
βουλῆς παραπτυσθέντες ἐξεβράσθησαν κατ᾽ αὐτόν, κύμασιν
council having-been-spat-out were-cast-up by him by-waves
ἐλαυνόμενοι ἃ πνεῦμα πονηρὸν ἤγειρεν (ἦν γὰρ καί
driven which spirit evil raised was for also
τις δαιμονοφόρητος λέσχη σύγκλητος, ὡς προέκκειται,
some demon-driven talking-shop senate as is-set-forth-before
εὐφυῶς ἔχουσα κατ᾽ ἐκεῖνον ἀλλοφρονεῖν), οὐ μὴν δὲ
naturally being in that(-one) to-think-otherwise not indeed and
ἀλλὰ καὶ τὰς φαύλας κεφαλὰς τοῦ δήμου, πρὸς δὲ καὶ
but also the base heads of-the people besides and also
τὸν τηνικαῦτα πατριαρχοῦντα, τὸν καματηρὸν Βασίλειον,
the then being-patriarch the Kamateros Basil
ἄνδρα θερμὸν καὶ οἷον καθομαλεῖν τοὺς καιροὺς ὡς
man hot and such-as to-level-off the times as
τὸ παρ᾽ αὐτῷ βουλόμενον ἔκρινεν, ὃς τοῦ μεγάλου
the(-thing) with him wished judged who the great
Θεοδοσίου τῆς φίλης καθαρειότητος γενομένου ἀντεισῆκται,
Theodosius of-the dear purity having-been brought-in-instead
ὃν ὁ Ἀνδρόνικος ἤθελε καὶ (ἀνακάμψαι τὴν φράσιν) ὃς
whom — Andronikos wished also to-turn-back the phrase who
τὸν Ἀνδρόνικον ἤθελεν, ἓν μένος οὗτοι πνέοντες καὶ οἷον
— Andronikos wished one spirit these breathing and as-it-were
δι᾽ ἀλλήλων ἥκοντες κατά τινα σύντηξιν ἤθους, καὶ
through one-another coming by some melting-together of-character and
ταυτιζόμενοι ταῖς ὧν ἔπραττον αἱρέσεσιν, — οὕτω δὴ
being-identified with-the of-which they-did choices thus indeed
οὖν προσειληφὼς καὶ τοῦτον ὁ τῶν φαύλων ῥινηλάτης
then having-taken-on also this(-one) the of-the base(-ones) tracker
λογοθέτης (τοῦτό τε γὰρ ἐτιμήθη καὶ τὸ σεβαστὸς
logothete this both for he-was-honored and the sebastos

κληθῆναι, οὐ δήπου καὶ ὢν τοιοῦτος πρὸς πρᾶγμα), ἥκουσι
to-be-called not surely also being such(-a-one) to matter they-come
παρὰ τὸν Ἀνδρόνικον τὴν τυραννίδα χοροβατήσαντες,
to — Andronikos the tyranny having-danced-to
δεινὰ ποιεῖν ἐκεῖνον λογοποιοῦντες κοινῇ ὡς ἐν
terrible(-things) to-do that(-one) making-up-stories in-common as in
ἐπικλήματος λόγῳ, εἰ τοὺς αὐτῷ πιστευθέντας παρὰ
reproach's way if the(-ones) to-him entrusted by
θεοῦ περιόψεται ὀλομένους, καὶ οὐ μόνον πόλιν ταύτην
God he-will-overlook perishing and not only city this
μεγίστην, ἀλλὰ καὶ ὅσων μερῶν αὐτὴ ἔχεται πρός τε
greatest but also of-as-many parts it holds toward both
ἥλιον ἀνίσχοντα καὶ πρὸς δυσμὰς καὶ ὅσα λοιπά.
sun rising and toward settings and as-many-as remaining
καὶ ἐσέμνυνον μὲν τὸν μικρὸν βασιλέα κατά γε τὸ φύσει
and they-praised indeed the little emperor in at-least the by-nature
καλόν, πρὸς δέ γε τὸ παρὸν οὐδὲν ἱερὸν αὐτὸν ἔφασκον
good for and at-least the present nothing sacred him they-said
εἶναι, καὶ ἀπεδοκίμαζον μονούμενον, καὶ προέπιπτον αὐτῷ
to-be and rejected(-him) being-alone and fell-before him
τῶν ποδῶν οἱ τὴν κολακείαν περιττότεροι πεισθῆναι
at-the feet the(-ones) in-the flattery more-excessive to-be-persuaded
εἰς βασιλείαν καὶ τῶν αὐτῆς ἡνίων συνεπιδράξασθαι, μὴ καὶ
to empire and of-the its reins to-lay-hold-with lest also
κατὰ μῦθον ὁ νεανίας οὗτος Φαέθων, ἀτέχνως τὸ ἅρμα
according-to fable the youth this Phaethon artlessly the chariot
τῆς ἀρχῆς χειριζόμενος, κακῶς τὸ πᾶν διαθήσεται. ὅτε δὲ
of-the rule handling badly the all will-dispose when and
καὶ τῶν ποδῶν ἀπαλλαγεῖεν τοῦ Ἀνδρονίκου ὀρθούμενοι,
also from-the feet they-were-released — of-Andronikos standing-up
αἱ χεῖρες αὐτοῖς ὡς εἰς θεὸν ἀνετείνοντο καὶ ἐθεοκλύτουν
the hands to-them as to God were-stretched-up and they-called-on-God

ἐπὶ τοῖς αὐτοῖς. ὁ δὲ κατορθούμενον ἤδη βλέπων
at the same(-things) the(-one) and being-accomplished already seeing
τὸ ἐφετόν, ἔνδον μὲν οἷα ἔπασχεν ἄν, καὶ ὡς ἔχαιρεν
the(-thing) desired inside indeed what he-was-feeling — and how he-rejoiced
ἀμύθητα, τίς οὐκ ἂν τεκμήραιτο; τὰ μέντοι ἐκτὸς
untold(-things) who not — would-guess the(-things) however outside
ἄλλως ἔχρωζεν ἑαυτόν, καὶ ἐδόκει μὴ ἂν φέρειν μηδὲ ζῆν,
otherwise he-colored himself and he-seemed not — to-bear nor to-live
εἰ τοιαῦτα ἀκούοι καὶ ὡς εἰς ἀπιστίαν γυμνάζοιτο. καὶ
if such(-things) he-should-hear and as into unbelief he-were-trained and
τίς ἐγώ, ἔλεγε, καὶ πῶς ἂν δυναίμην; καὶ ὡς φευξοῦμαι,
who I he-said and how — might-I-be-able and how I-will-flee
καὶ ὡς μεταστήσω τοῦ βιοῦν ἐμαυτόν, εἰ μὴ ἀφίεμαι. καὶ
and how I-will-remove from-the living myself if not I-am-let-go and
ἐρράπιζεν ἑαυτὸν καὶ ταῖς θριξὶν ἐνύβριζε καὶ πολλαχοῦ
he-slapped himself and the hair abused and in-many-places
εἰλεῖτο, δοκῶν μὲν ἐθέλειν διέκδυσιν ὡς εἰς φυγήν, διδοὺς δὲ
rolled seeming indeed to-want escape as to flight giving and
ἄλλως τόπον χαρᾷ καὶ γέλωτι λεληθότως ἐν τῷ στρέφειν
otherwise place to-joy and laughter secretly in the to-turn
ὧδε καὶ ἐκεῖ τὸ πρόσωπον, ὁποῖος ἐκεῖνος, τὸ περιπόνηρον.
here and there the face of-what-sort that(-one) the all-wicked

Andronikos feigns reluctance and is acclaimed at the church of Christ of the Chalke, then removes the young co-emperor Alexios. Having the empire, he grows more inhuman and destroys chosen men, and the eastern cities suffer for resisting. Latins from Pisa, Genoa, Tuscany, and Lombardy, scattered by his cruelty, stir the West, and William of Sicily, nursing rancor since Manuel's campaign against his land, prepares an attack. A monk passes off a rustic boy as Alexios; William backs him.

Ὡς δὲ τὴν σκηνὴν ταύτην συμπήξεσθαι τεχνασάμενος 409
as and the stage this to-be-fixed having-contrived
ἀσφαλέστερον προσεποιήσατο πλασάμενος καὶ τοῦ ὑπερῴου
more-safely he-pretended having-feigned also of-the upper-room
γενέσθαι, εἴ πως οὕτω φαντάσει τοὺς πολλούς, ὡς
to-get if somehow thus he-will-make-believe the many that
ὑπερθέμενος τὴν ἐνεστηκυῖαν ὥραν φευξεῖται μετ᾽ αὐτὴν
having-postponed the present hour he-will-flee after it
καὶ ἀπαλλαγήσεται τοῦ ὀχλοκοπεῖσθαι, οἱ κόλακες
and will-be-released from-the to-court-the-mob the flatterers
ἐντεινάμενοι τὴν ἁρμονίαν τοῦ λήρου εἰς ὅσον πλέον
having-tightened the harmony of-the nonsense to as-much-as more
οὐκ ἦν, φωνάς τε ἦραν καὶ φυλακὰς ἐπέταττον καὶ
not was voices both raised and guards ordered and
συντηρήσεις τῶν ἐκεῖ διεξόδων, καὶ διηποροῦντο τί ἂν καὶ
watchings of-the there passages and were-at-a-loss what — also
γένοιτο. καὶ ὁ πατριάρχης ἐπιλυόμενος αὐτοῖς τὸ ἄπορον,
might-happen and the patriarch solving for-them the difficulty
ὡς ἡμεῖς καὶ τότε μανθάνοντες ἐγελῶμεν καὶ νῦν δὲ ἔτι
as we also then learning laughed and now too still
γελῶμεν, παρῳδοῦντες ἕκαστος ἑαυτῷ κωμικώτερον τὸ
we-laugh parodying each to-himself more-comically the
"παῖζε παῖζ᾽ ἐπὶ συμφοραῖς," αὐτὸς ἔφη καὶ ποδοκάκην καὶ
play play at misfortunes he said both stocks and

χειροπέδας καὶ κλοιὸν περιτραχήλιον καὶ ὅσα τοιάδε
handcuffs and collar for-the-neck and as-many-as such(-things)
μηχανήσασθαι τῷ Κομνηνῷ, δι᾽ ὧν κατέχοιτο ἄν. εἶπεν
to-contrive — for-Komnenos through which he-might-be-held — said
ἐκεῖνος ταῦτα, καὶ οἱ πολλοὶ ἀφεώρων πρὸς ἐπίνοιάν
that(-one) these(-things) and the many looked to thought
τινος χαλκεύματος καὶ "πῶς ἔσται ταῦτα;" ἔλεγον. ὁ
of-some smith's-work and how will-be these(-things) they-said the(-one)
δ᾽ εὐθὺς πλαγιάσας τὸ τῆς κεφαλῆς κάλυμμα, καὶ τὴν
and at-once having-tilted the of-the head covering and the
δεξιὰν εὐθετίσας εἰς ἀέριον σταυρικὸν χάραγμα, κατακροτεῖ
right having-arranged into aerial of-the-cross sign hammers-down
δεσμοὺς τοὺς ἀρέσαντας, καὶ ἀμφιβαλὼν ἱεραρχικῶς ἐπέχει
bonds the pleasing and having-cast-round hierarchically holds-back
τὸν Ἀνδρόνικον, καὶ ἀφορίζει ὅποι εὗρε μένοντα, καὶ
— Andronikos and binds-by-ban where he-found(-him) remaining and
κατασκήπτει μὴ ἂν ἀφεῖναι τὴν πόλιν καὶ ἄλλην τραπῆναι.
charges not — to-leave the city and elsewhere to-turn
ὁ δὲ ὡς ἀβούλητα δῆθεν παθὼν καταβοᾶται τοῦ
the(-one) and as unwished(-things) forsooth having-suffered cries-out-against the
πατριάρχου οἷα οὕτω καταδήσαντος τὸν τρέχειν ἕτοιμον·
patriarch as thus having-bound the(-one) to-run ready
καὶ "ὤμοι" φησί, "τί ποιεῖς, δέσποτα;" καὶ συχνὰ τοῦτο
and alas he-says what do-you master and often this
λογοκοπήσας ἄνεισιν ὑψοῦ στενάζων ὡς ἐπὶ μεγάλῳ κακῷ.
having-babbled goes-up aloft groaning as over great evil
καὶ ὁ πατριάρχης ὑπειπὼν τὰ δοκοῦντα ἡσύχαζε.
and the patriarch having-replied the(-things) seeming-good was-quiet
410 Καὶ τοῦ λοιποῦ, ἵνα μὴ τὴν κοσμικὴν ἀηδίαν
and for-the rest so-that not the worldly unpleasantness
ἀδολεσχῶ, γίνεται τῶν κακῶν δρόμος εἰς τὸν περίδοξον
I-chatter-of happens of-the evils running to the very-glorious

ναὸν τοῦ σωτῆρος Χριστοῦ τοῦ χαλκίτου, καὶ εὐφημία
temple of-the savior Christ of-the Chalkites and acclamation
τοῦ Ἀνδρονίκου ἄκοντος εἰς βασιλέα, ὡς ἂν καὶ αὐτοὶ καὶ
— Andronikos unwilling to emperor as — also they and
ἐκεῖνος εἴποιεν· εἶτα καὶ βία εἰς ἐκεῖνον, ὡς καὶ μὴ ἐθέλων
that(-one) might-say then also force on that(-one) as also not wishing
ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ περίθεσις παρασήμων τῇ
leader of-us become and putting-on of-insignia for-the
βασιλείᾳ πεδίλων, ἐκείνου μὴ καθιστῶντος τοὺς πόδας, καὶ
empire of-shoes that(-one) not setting the feet and
περίδεσις διαδήματος καὶ ῥῖψις μὲν καπνικοῦ καλύμματος
binding-round of-diadem and throwing indeed of-smoky covering
τοῦ περὶ κεφαλήν, ὅπερ Λαζόθεν εἶχε τὴν ἀφορμὴν εἰς
of-the about head which from-Lazica had the origin as
σύμβολον ὧν ἔμελλε καπνῷ φῦραι, κατεμπρήσας τὸ
symbol of-what he-was-about with-smoke to-mix having-burned-down the
πᾶν, ἀντιφόρησις δὲ ἐρυθροῦ, αἰνιττομένη ὅσων κεφαλῶν
all wearing-in-exchange and of-red hinting of-as-many heads
καταψηφιεῖσθαι μέλλει αἵματα. καὶ συγκάθηται τὸ
to-vote-down he-is-about bloods and sits-with the(-time)
ἐντεῦθεν τῷ βασιλεῖ Ἀλεξίῳ, καὶ προκάθηται (ὑπερέκειτο
thereafter with-the emperor Alexios and sits-in-front was-set-aside
γὰρ αὐθωρὸν ἐκείνου τὸ ἀπὸ τοῦδε), καὶ συντιμᾷ
for at-that-very-hour that(-one) the from this(-time) and honors-with
οὓς αὐτὸς ἐπέκρινε, καὶ προβάλλεται ἀρχάς, ἐξ αὐτῶν
whom he chose and puts-forward rulers from very
βαλβίδων τὸ τῆς κατ᾽ αὐτὸν βασιλείας ἅρμα πρόσθεν
starting-lines the of-the at him empire chariot before
βαλών. καὶ τὸ μέγα κακὸν τῷ μικρῷ καλῷ συγκίρναται.
having-put and the great evil with-the small good is-mixed

411 Βραχὺς ὁ ἐν μέσῳ χρόνος, καὶ περιγίνεται· καὶ ὡς ἂν
short the in middle time and survives also so-that —
μὴ θρήνου μεγάλου ἔξαρχος καθισταίμην τοῖς φιλαλεξίοις
not of-lament great leader I-may-be-set to-the Alexios-lovers
εἴτ' οὖν φιλοβασιλεῦσι, λεπτοτομῶν παχεῖαν σκυθρωπότητα,
or then emperor-lovers thin-cutting thick gloom
ἐκ ποδῶν ἀπάγει τὸν συμβασιλέα. καὶ τοῦ ζυγοῦ
out-of feet he-leads-away the co-emperor and from-the yoke
τὸν Ἀλέξιον ἐκτινάξας, εἴτε πνιγμῷ τῷ δι' ἀγχόνης,
— Alexios having-shaken-out whether by-strangling the through hanging
ὡς διαρρέει λόγος ὁ πλείων, εἴτε καὶ ἄλλως, ὡς ἐκεῖνος
as spreads report the more or also otherwise as that(-one)
οἶδε καὶ οἱ συγκακοῦργοι, ἀντεμβάλλει τὸν υἱὸν Ἰωάννην,
knows and the fellow-evildoers puts-in-instead the son John
τὸν τοῦ Μανουὴλ ὕστερον, οὐχ ὅτι καλλίων ἦν, ἀλλ'
the(-one) — than-Manuel later not that better he-was but
ὅτι ὁ μὲν Μανουὴλ ἀπεστύγει τὰ τοῦ πατρὸς καί
that — indeed Manuel abhorred the(-things) of-the father and
πως ἔβλεπεν εἰς τὸ μέλλον καὶ τὸν θεὸν ἐπίστροφον
somehow looked to the future and — God attentive
εἶναι τῶν γινομένων κακῶν ὑπελάλει, ὁ δὲ Ἰωάννης
to-be to-the happening evils whispered — and John
ἔστεργε καὶ τοῖς πλημμελουμένοις ἔχαιρε συνεφαπτόμενος.
loved(-them) and in-the wrongdoings rejoiced taking-part
Ἃ δὲ τὸ ἐντεῦθεν ὁ Ἀνδρόνικος — οὐ λέγω ἥμαρτεν ἢ
what and the(-time) thereafter — Andronikos not I-say sinned or
ἐπλημμέλησεν (ἄλλως γὰρ οἱ θερμότεροι ὀνομάσαιεν ἄν),
did-wrong otherwise for the hotter(-ones) might-name(-them) —
γλώττης δεῖται νεανικῆς φράζειν, καὶ πρὸ αὐτῆς λογισμοῦ
of-tongue needs youthful to-tell and before it of-reasoning
βαθέος καὶ οἵου εὔστοχα βάλλειν καθ' ὧν ἂν
deep and such-as aptly to-strike against what(-things) —

ἐπιβαλεῖ· ἅπερ ἡμεῖς ἀπολωλεκότες τῷ γήρᾳ τοσοῦτόν
it-should-lay-hold-on which we having-lost in-the old-age so-much
φαμεν ἐπιτέμνοντες, ὅτι, ὁποῖά τις Δαυὶδ μεμελετηκὼς
we-say cutting-short that such-as some David having-practiced
ἀπεκβῆναι ἔν γε τῷ κατὰ τὸν Οὐρίαν καὶ τὴν
to-turn-out in at-least the(-affair) concerning — Uriah and the
γαμετήν, τὸν μὲν ἄνδρα βασιλέα τὸν Ἀλέξιον προϊάπτει
wife the indeed husband emperor — Alexios sends-forth
κάτω, παραστείλας τοῦ ζῆν, εἶτα καὶ βυθῷ θαλάσσης
below having-dispatched from-the living then also to-depth of-sea
πιστεύσας καθά τινές φασιν, ὡς οὐκ ἂν ἐγὼ ἀνακρίναιμι,
having-entrusted as some say as not — I might-examine
καθάπαξ ἀπεστυγηκὼς τὴν φαύλην ταύτην περίστασιν.
once-for-all having-abhorred the base this circumstance
καὶ ἐκεῖνος μὲν οὕτω τὸν παῖδα βασιλέα συνέστειλεν,
and that(-one) indeed thus the child emperor put-away
εἰ καὶ λόγοι τινὲς ὕστερον ζωὴν ἐκείνου κατεψεύσαντο·
even-if also stories some later life of-that(-one) falsely-told
εἰς ὃ παίζων ὁ Ἀνδρόνικος ἐξελάλησέ τι δριμύ, ὃς
to which jesting — Andronikos blurted something sharp who
ἀκούσας περί που τὰ κατὰ Σικελίαν τημελεῖσθαι τὸν
having-heard about somewhere the(-parts) toward Sicily to-be-cared-for —
Ἀλέξιον βασιλικῶς, ἡδὺ γελάσας "ἦ δὴ" ἔφη "ἄριστος
Alexios royally sweetly having-laughed truly indeed he-said best
κολυμβητής, εἴπερ ἐν Κωνσταντινουπόλει κατακυβιστήσας
swimmer if-indeed in Constantinople having-dived
εἰς βαθεῖαν θάλασσαν ἀπνευστὶ διεξέδυ περὶ τὸν ἐκεῖσε
into deep sea without-breathing he-came-out about the there
πορθμόν." ἀποικίσας δὲ οὕτω τὸν ἄνδρα Ἀλέξιον,
strait having-moved-away and thus the husband Alexios
εἰσοικίζεται τὴν αὐτῷ μνηστήν, ὦ καὶ ἐκείνου κακοῦ, νεάνιδα
he-moves-in the to-him betrothed O also of-that evil(-thing) maiden

θυγατέρα τοῦ τῆς Φραγγίας ῥηγός, ὀκνοῦσαν μέν, ὡς
daughter of-the — of-France king shrinking indeed as
περιᾴδεται, τὴν συναφήν. ἤδη γὰρ καὶ φρενῶν ὑπεπίμπλατο,
is-sung-of the union already for also of-wits she-was-filled
καὶ πεπειραμένη δὲ ἄλλως λειότητος ἐραστοῦ τὸν τραχὺν
and having-experienced too otherwise of-smoothness of-lover the rough(-one)
ἀπέστεργε. καί ποτε, φασί, καθ' ὕπνους φαντασαμένη τὸν
she-disliked and once they-say in sleep having-imagined the
νεανίαν καὶ ὦ Ἀλέξιε ἀνακράξασα, οἷα ἔπαθεν, οἶδεν αὐτή.
youth and O Alexios having-cried-out what she-suffered knows she
412 Καὶ ἦν μὲν ἴσως μέτριος τὴν κακίαν, εἴπερ ἐνταῦθα
and he-was indeed perhaps moderate in-the wickedness if-indeed here
ἐλθὼν ἀδικήματος ἔληξε καὶ ἐστράφη πρὸς τὸν ἀληθῶς
having-come from-wrongdoing he-ceased and turned to the truly
ἄνθρωπον, ἀδικήσας εἰς βασιλείαν καὶ μεγάλου τυχὼν
man having-wronged for empire and great having-obtained
πράγματος. ὁ δ' ἀλλὰ πρὸς δεινὸν μέγα μεταπλασθεὶς
thing the(-one) and but to terrible great having-been-reshaped
τῇ θηριωδίᾳ τὸ κατὰ πάντων φοβερὸν πραγματεύεται,
by-the brutishness the against all fearful works
καὶ ἀφίησι μὲν πατὴρ ὡς ἤπιος εἶναι, ἀνθαιρεῖται δὲ
and lets-go indeed father as gentle to-be chooses-instead and
μαίνεσθαι οὐκέτ' ἀνεκτῶς. καὶ ὡς εἴπερ μικρὰ ἐποίει
to-rage no-longer bearably and as if-indeed small(-things) he-did
κακά, ὅτε πρόφασιν εἶχε τὴν τοῦ βασιλέως Ἀλεξίου
evils when pretext he-had the of-the emperor Alexios
περιποίησιν, πολλαπλασιάζει τὰ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ
protection he-multiplies the(-things) for himself and the
παιδὸς Ἰωάννου, καὶ εἰς οὕτως ἄποπτον ἐκκορυφοῖ τὸν
son John and into so conspicuous raises-to-a-peak the
τῆς μανίας κολωνὸν ὡς καὶ τὸν Ἰωάννην ἀναβλέψαντά
of-the madness hill so-that also — John having-looked-up

ποτε παθεῖν ἴλιγγον. καὶ τοίνυν καὶ ἀνεκάλυψέ ποτε τῷ
once to-suffer dizziness and therefore also revealed once to-the
πατρὶ καὶ ἐκεῖνος τὸ κατὰ ψυχὴν πάθος, καὶ ἔδειξε φόβον
father also that(-one) the in soul feeling and showed fear
ἔχειν εἰς τὸ μέλλον ἐφ' οἷς ὁ πατὴρ ἄρτι θρασύνεται, καὶ
to-have for the future at what the father lately grows-bold and
ὑποκλαίει μὲν μαλθακώτερον, οὐκ ἀποκναίει δὲ τὸν πατέρα
weeps indeed more-softly not wears-out and the father
τοῦ ἐν κακοῖς ἀνδρίζεσθαι καὶ δεινὰ βούλεσθαι. διὸ
from-the in evils to-play-the-man and terrible(-things) to-wish wherefore
καὶ προαναφωνῶν τὸ καλὸν ἐκεῖνος βούλευμα γυναῖκάς τε
also proclaiming-beforehand the fine that(-one) plan women both
τοὺς υἱοὺς προσέφη, ἐπιπλέξας ἐνταῦθα καὶ τὸν Μανουήλ,
the sons he-called having-woven-in here also — Manuel
καὶ ἐπαρᾶται, μὴ ἂν εἰς ἄξιον ἐλθεῖν τοῦ ἡσυχῇ ζήσειν,
and curses not — to worthy to-come of-the quietly to-live
μεγαλείους μόνους ἐκείνους ἐσομένους, ἐπὰν ὁ πατὴρ
grand alone those going-to-be when the father
θάνοι. καὶ κομπάζει μακελλαρίους (εἰπεῖν κατ' ἐκεῖνον) καὶ
should-die and boasts butchers to-say against him and
μάγγιπας καὶ μύρων ἑψητὰς μέλλειν ἀφήσειν περιεῖναι,
bakers and of-perfumes boilers to-be-about to-let to-survive
καὶ τοιούσδε τινάς, ὧν αὐτοὶ ἄρξοντες ὕστερον εἰκῇ
and such some whom they going-to-rule later at-random
ἄρτι δειλαίνονται, μεγάλα σεμνύνων ἐκεῖνος τὴν βασιλείαν
now are-cowardly great(-things) magnifying that(-one) the empire
τοῖς παισίν. εἰ οὕτω μικροβασιλεῖς ἀποβήσονται, ὅμοιον
to-the sons if thus petty-kings they-will-turn-out like
ὡς εἰ καὶ Γιγάντων ἀποστερῶν ἐθέλοι παραμυθεῖσθαι
as if also of-Giants depriving he-should-wish to-console
οἷς Πυγμαίων ἄρξειν αὐτοὺς ὑπόσχοιτο.
by-which over-Pygmies to-rule them he-might-promise

414 Γίνεται οὖν ὁ ἄνθρωπος ἐπὶ πλέον ἀπάνθρωπος, τὸν
becomes then the man to more inhuman the
θῆρα μετενδυσάμενος. καὶ οἷα μὴ ἀρκοῦν αὐτῷ στερεῶσαι
beast having-put-on and as not sufficing for-him to-make-firm
βασιλείαν, εἰ τοσούτους καὶ τοιούτους λογάδας τοὺς
empire if so-many and such chosen-men the(-ones)
μὲν ἀπήγαγεν εἰς τοὺς πλείονας τοὺς δ' ἄλλως ἐκ
indeed he-led-away to the majority the(-ones) and otherwise from
μέσου ἔστησε, προσεπικαταβάλλει καὶ ἄλλους μυρίους
middle set throws-down-besides also others countless
ὅσους, μάρπτων ἑξείης, οὐ κατὰ αἰτίαν οὖσαν, ἀλλ'
as-many-as seizing in-order not by cause being but
ὁποίας πλάσαιτ' ἂν κατὰ ζώντων ἄνθρωπος αὐτὸς μόνος
such-as could-fabricate — against living(-men) man himself alone
ἐφιέμενος ζῆν διὰ τὸ φύσει καχύποπτον, ὃ παγίως
aiming to-live because-of the by-nature suspicious which firmly
αὐτῷ ἐνερρίζωτο οἷς αὐτὴ ἀεὶ ἐδολίου κατὰ τῶν πρὸ
in-him was-rooted by-which it always plotted against the(-ones) before
αὐτοῦ· ὅθεν ᾤετο πάντας βασιλεῖς κατ' αὐτόν. καὶ οὐ
him whence he-thought all (to-be)-emperors against him and not
λέγω τὸ πλῆθος τῶν πεπονθότων· οὐ προσάπτομαι τῆς
I-say the multitude of-the(-ones) having-suffered not I-touch-on the
ποιότητος· οὐκ ἐκτίθεμαι τὰ κατ' ἐκείνων συμπλάσματα· οὐ
quality not I-set-forth the against those fabrications not
περιηγοῦμαι τρόπους ἢ τόπους καθ' οὓς καὶ ὅπως περανθείη
I-describe ways or places in which and how was-accomplished
τὸ κακόν, οὐκ ἄλλο τοιοῦτον οὐδέν, μὴ καὶ ἀηδίας
the evil not other such nothing lest also of-unpleasantness
ἀναταράξω βόρβορον. ἐκεῖνο μόνον λέγω, ὡς ἠρίστευεν
I-stir-up mire that only I-say that he-excelled
ἀληθεύων ἐπὶ τῇ πρὸς τοὺς υἱοὺς ὑποσχέσει· οὐ πολλοῦ γὰρ
being-truthful in the to the sons promise not much for

ἐνέλιπε ψιλῶσαι ἀνθρώπων ἐπιδόξων τὴν μεγαλόπολιν. καὶ
he-fell-short to-strip of-men notable the great-city and
οὕτω μὲν κατὰ πάντων αὐτός· ἦσαν δὲ οὐδ᾽ οἱ πάντες
thus indeed against all he were and not-even the all
ἀπεοικότες ἐκείνου πρός γε τὸ μῖσος. μισούμενοι γὰρ
unlike that(-one) toward at-least the hatred being-hated for
ἐφιλοτιμοῦντο ἀντιμισεῖν, οὐκ εὐαγγελικῶς μέν, κατὰ
they-were-ambitious to-hate-back not evangelically indeed according-to
βασιλικὸν δὲ ἐκεῖνο παράδειγμα. καὶ συλλεγέντες τῇ
imperial and that example and having-gathered for-the
ἀμύνῃ πρός τι ἓν δρᾶν ἤθελον καὶ ἀντιλυπεῖν τὸν
defense toward some one(-thing) to-do wished and to-grieve-in-return the(-one)
κατάρξαντα. ἦσαν δὲ ἐν τοῖς δρῶσι πρὸς ἄμυναν, ὅτι
having-begun were and among the(-ones) acting toward defense as
καὶ ἐν τοῖς παθοῦσι, καὶ οἱ τῆς Ἄγαρ. τὰ γὰρ κατὰ
also among the(-ones) having-suffered also the(-ones) — of-Hagar the for against
Νικαέων πάθη, καὶ ὅσα οἱ Προυσαεῖς ἔτλησαν, ἥψαντο
Nicaeans sufferings and as-many-as the Prusaeans endured touched
καὶ ἐκείνης καὶ εἰς πολὺ ἐχθίστην ἡμῖν ἐνέγραψαν· πολλοὺς
also that(-one) and to much most-hostile to-us registered(-her) many
γὰρ καὶ τῶν αὐτῆς ἐπιλέγδην ἡ Νίκαια, ναὶ δὲ καὶ
for also of-the(-ones) of-her selected — Nicaea yes and also
ἡ Προῦσα μετὰ πολύπονον ἅλωσιν μετεωρισθέντας εἶδον,
— Prusa after toilsome capture hung-aloft saw
ὅθεν ἔστι καταβῆναι εἰς Ἅϊδην καὶ ταχὺ καὶ οἴκτιστα.
whence it-is-possible to-go-down into Hades both quickly and most-piteously
Καὶ οἷα μὲν ἐντεῦθεν οἱ ἀνατολικοὶ ἔπαθον, εἰς μνήμην, 415
and what indeed thence the eastern(-ones) suffered for memory
εἰ καὶ μὴ μετ᾽ ἐγκωμίων τοῦ Ἀνδρονίκου, συγγραφέσθω
if even not with praises — of-Andronikos let-write
ἕτερος, ἐκεχειρίαν τε ἄγων ἱκανήν, ἀλλὰ καὶ δακρύοις
another leisure both having sufficient but also in-tears

πλουτῶν· ἡμᾶς γὰρ ἐπέλιπον καὶ αὐτά. ἡμῖν δὲ οἷα
being-rich us for failed also these(-things) for-us and what
ἐκεῖθεν συνέπεσον, καὶ ὡς ἡ τοῦ Ἀνδρονίκου, ὁμαλῶς
from-there befell and how the — of-Andronikos smoothly
λέξαι, οὐ προσήνεια καθίκετο καὶ ἡμῶν ὀλεθρία, φράσων
to-say not gentleness came-down even to-us destructive going-to-tell
ἔρχομαι, οὐ πρὸς εὐρυλογίαν οὐδ' αὐτά, μὴ καὶ πλατὺ
I-come not for wordiness nor these(-things) lest also broad
μάλα βιβλιογραφήσειν ἀνάγκην εὑρήσω, ἀλλ' ὡς πρὸς
very to-write-a-book necessity I-will-find but as for
ἐσκιαγραφημένην τῶν πεπραγμένων ὑπόδειξιν.
sketched of-the(-things) done indication
Οἱ βλαβέντες ἐκεῖνοι, οἱ πολλοί, οἱ ποικίλοι, οἱ
the(-ones) harmed those the many the various the
πολύγλωσσοι, διασπαρέντες ἄλλοι ἄλλοθεν, εἴ τις φρήτρη
many-tongued scattered others from-elsewhere if any brotherhood
ἐκ Πίσσης, εἴ τις ἀπὸ Γενούης, τὸ τῶν Τούσκων φῦλον
from Pisa if any from Genoa the of-the Tuscans tribe
καί τι Λαμπαρδικόν· οὐκ ἀπελίπετο δὲ οὐδὲ τὸ ἐκ
and some Lombardic not was-left-behind and nor the(-tribe) from
Λογγιβάρδων βλαβέν, οὐδ' ὅσα ἄλλα· οὐ μὴν δὲ ἀλλὰ
Longobards harmed nor as-many-as other(-ones) not indeed and but
καὶ τῶν εὐγενείας ἐπιτεταγμένων, Μαλεῖνος δέ τις
also of-the(-ones) of-nobility ranked Maleinos and some(-one)
καὶ Δαλασηνὸς καὶ Κλάδων καί τινες τοιοῦτοι τῶν
also Dalassenos and Kladon and some such(-ones) of-the(-ones)
τῆς ὑφειμένης, πρὸς δὲ καὶ θεραπευταὶ ἀρχόντων οὓς ὁ
of-the lower besides and also servants of-officials whom —
Ἀνδρόνικος φαύλως διέθετο—, οὗτοι δή, καὶ ὅσοι δὲ
Andronikos badly treated these indeed and as-many-as too
ἄλλοι ἐν ὁμοίοις κακοῖς ἦσαν, ἐπρέσβευσαν παρὰ πολλοὺς
others in like evils were sent-embassies to many

τῶν μέγιστα δυναμένων περί τε τὰ τῆς ἑῴας
of-the(-ones) greatest(-things) being-able about both the(-things) of-the eastern
λήξεως καὶ τὰ ἑσπέρια. καὶ οἱ μὲν τὸν σουλτὰν
portion and the(-things) western and the(-ones) indeed the sultan
ἠρέθισαν τὰ πλείω, προϊσχόμενοι εἰς δυσωπίαν τὸν τοῦ
provoked the most putting-forward for shame the of-the
βραχυβίου βασιλέως Ἀλεξίου θάνατον, ᾧπερ ὤφειλε
short-lived emperor Alexios death to-whom-very owed
πιστὰ διὰ τὸν πατέρα Μανουὴλ ὁ τῶν Ἀγαρηνῶν
faithful(-things) because-of the father Manuel the of-the Hagarenes
ἔθναρχος· ἕτεροι δὲ τὸν ἐν Ἀντιοχείᾳ προκαθήμενον,
ethnarch others and the(-one) in Antioch presiding
τόν τε κατὰ κόσμον καὶ τὸν ἐκκλησιαστικῶς, ἄλλοι δὲ
the(-one) both in world and the(-one) ecclesiastically others and
τὸν ἐν Ἱεροσολύμοις ζηλοῦντα βασιλικῶς ὑπὲρ τοῦ καλοῦ.
the(-one) in Jerusalem being-zealous imperially for the good
ὠφειλέτην δὲ ἄρα καὶ τούτω τὼ ἄρχοντε ὀρθὴν ἀγάπην
owed and then also these the two-rulers right love
καὶ ἐπικουρίαν μετὰ τὸν Μανουὴλ ἀδικουμένῳ τῷ υἱῷ
and help after — Manuel being-wronged to-the son
Ἀλεξίῳ. αἱ δὲ ἐντρεχέστεραι τῶν πρεσβειῶν περὶ τὰ
Alexios the and more-skillful of-the embassies about the(-parts)
καθ' ἑσπέραν ἐξετελοῦντο, καὶ ἐλιτάζετο πρὸς μὲν τῶν
toward west were-carried-out and was-entreated by indeed the(-ones)
ὁ τῶν ἐν μεγάλῃ Ῥώμῃ ἀρχιερατικῶς ὑπερεστὼς
the(-one) of-the(-ones) in great Rome high-priestly presiding
καὶ εἴ τις ἄλλος παρ' αὐτῷ καὶ κατ' αὐτὸν ἰσχύων, πρὸς δὲ
and if any other with him and by him powerful by and
τῶν ὁ Γερμανικὸς φύλαρχος. ὠχλεῖτο δὲ πρεσβευτικῶς
the(-ones) the German chieftain was-troubled and with-embassies
καὶ ὁ πολὺς τὴν ἐξουσίαν Ἀλαμανός. καὶ οὐδὲ ὁ
also the great in-the power German and not-even the

μαρκέσιος ἡσυχῇ μένειν ἀφίετο, καθάπερ οὐδὲ ὁ τῆς
marquis quietly to-remain was-let as not-even the —
Οὐγγρίας κράλης καὶ ὃς δὲ ἄλλος ἰσχυρὸς περίοικος. καὶ
of-Hungary kral and who too other strong neighbor and
ὅλως, ἔνθα περιήγησις ἀρχικῶν ὀνομάτων, ἐκεῖ ἀπέβλεπεν
wholly where (was)-enumeration of-ruling names there looked
αὐτοῖς τὸ δεόμενον τῆς ψυχῆς καὶ οἱ πόδες αὐτίκα
for-them the needing of-the soul and the feet at-once
ἔτρεχον, καὶ ἡ γλῶσσα ἐλάλει καὶ ἐνήργει πρὸς πειθώ.
ran and the tongue talked and worked for persuasion
416 Μάλιστα δὲ τοιούτου ἐπειράθη ὄχλου ὁ τῶν Σικελῶν
most and such made-trial-of crowd the of-the Sicilians
εἴτε ῥὴξ εἴτε τύραννος, ὡς οἱ Διονύσιοι καθ' ἱστορίαν
whether king or tyrant as the Dionysii in history
βεβαιοῦνται καὶ οἱ Φαλάριδες, καὶ ὅσοις δὲ ἄλλοις τὸ
are-confirmed and the Phalarises and to-as-many-as too others the
ἐκεῖ ἄρχειν τυραννεῖν καὶ ἦν καὶ ἐλέγετο. ἔνθα ὁ πρῶτος
there to-rule to-play-the-tyrant both was and was-said where the first
πρὸς βίαν κατάρξας καὶ τὸ Ῥωμαϊκὸν ἐκεῖνο κομητάτον εἰς
by force having-begun and the Roman that county into
ῥηγάτον μεταγράψας Ῥογέριος ἦν, ῥέκτης ἀνὴρ καὶ τῷ
kingdom having-transcribed Roger was doer man and in-the
ὄντι δραστήριος καὶ ἐν τοῖς ἐκεῖσε πολλὴν ἱστορίαν ὑπὲρ
reality energetic and in the(-things) there much history about
ἑαυτοῦ περικείμενος· δεύτερος δὲ μετ' ἐκεῖνον καὶ χρόνῳ καὶ
himself wearing second and after that(-one) both in-time and
χειρὶ καὶ τύχῃ παῖς ἐξ ἐκείνου, οὐκ οἶδ' ὅπως ἥκων
by-hand and by-fortune son from that(-one) not I-know how having-come
τοῦ ὀνομάζεσθαι· ὁ δὲ ἄρτι ζῶν (Γελίελμον ἐκεῖνόν
to-the to-be-named the(-one) and now living William that(-one)
φασιν) μεγαλεπήβολος μὲν τὴν ἔφεσιν, μικροτελέτης δὲ
they-say grand-in-design indeed the aim small-in-accomplishment and

ἐν ταῖς ἐπιβολαῖς· ὀλίγα μὲν γάρ τινα ἠνδραγαθίσατο,
in the undertakings few indeed for some(-things) he-did-bravely
τὰ πλείω δὲ ἔπταισε. καὶ ὡς μὲν κατὰ τὴν σκέψιν
the more and he-stumbled and as indeed according-to the observation
Ἀριστοτέλους εἰς τριγονίαν τὰ πολλὰ τὸ τυραννικὸν φῦλον
of-Aristotle to third-generation the most(-part) the tyrannical tribe
ἀνθοῦν εἶτα μαραίνεται, συχνὴ πεῖρα παρέδειξεν· οὗτος δέ,
flowering then withers frequent trial has-shown this(-one) and
οἷς ἄρτι εὐτυχῶς ἑαυτῷ ἐπέττευσεν, οἴοιτο ἂν τάχα
by-what now fortunately for-himself he-has-diced would-think — perhaps
οὐ μόνον οὐκ ἀπανθήσειν, τρίτος ὢν αὐτὸς τῷ γένει,
not only not to-fade-away third being himself in-the race
ἀλλὰ καὶ κάρπιμος ἔσεσθαι· πάνυ γὰρ ἡμῶν κατευτύχησεν.
but also fruitful to-be very for over-us he-succeeded
Ὁ δὲ οὖν Γελίελμος οὗτος κότον τε οἶμαι τρέφων 417
— and then William this rancor both I-think nursing
οἷς ποτὲ ὁ Μανουὴλ κατεστράτευσε τῆς αὐτοῦ καὶ
at-what once — Manuel campaigned-against the his(-land) and
πολλὰ καὶ ἐλύπησε καὶ ἔβλαψε, καὶ ἅμα καὶ ζηλῶν
many(-things) both grieved and harmed and at-once also emulating
πατρικὴν διὰ θαλάσσης ὁρμήν ποτε παλαιὰν κατὰ τῆς
paternal by sea onset once old against —
Κωνσταντινουπόλεως, ἣν ὁ πατὴρ ἀνήνυτον ἐξετέλεσεν,
Constantinople which the father unaccomplished carried-out
ὁμοῦ δὲ καὶ συνάψας εἰς νοῦν τὴν καὶ διὰ γῆς καὶ
together and also having-joined in mind the both by land and
διὰ θαλάττης μελέτην τοῦ Μανουὴλ κατὰ τῆς τῶν
by sea design — of-Manuel against the(-land) of-the
Σικελῶν (κατ' ἄμφω γὰρ ἐκεῖνος ἐπεχείρησε, καλῷ
Sicilians on both for that(-one) attempted good
μὲν ἐπιβαλὼν πράγματι, κατακυβευθεὶς δὲ τύχαις
indeed having-undertaken thing having-been-diced-away and by-fortunes

πολέμου), προσίεται τὴν πρεσβείαν τῶν τοῦ Ἀνδρονίκου
of-war admits the embassy of-the — of-Andronikos
ἐχθρῶν, ὧν κατάρχειν ὁ Κομνηνὸς Ἀλέξιος ἠγλαΐζετο,
enemies of-whom to-lead — Komnenos Alexios prided-himself
πολυπλάνητος καὶ αὐτὸς καὶ μακρὰ περιοδεύσας, εἶγε
much-wandering also himself and long(-ways) having-traveled if-indeed
πρὸς τοῖς ἄλλοις καὶ διὰ Ταυρικῆς καὶ Σκυθίδος γῆς
besides the others also through Tauric and Scythian land
ἐλθὼν διὰ τὸν Ἀνδρόνικον μυρία ἔκαμε. καὶ
having-come because-of — Andronikos countless(-things) toiled and
τυγχάνει βαλὼν ἔπος ὁ Σικελός, τήν τε ξηρὰν τήν
happens throwing word the Sicilian the both dry the
τε ὑγρὰν ἐμπλῆσαι τῆς κατ᾽ αὐτὸν δυνάμεως, καὶ
both wet to-fill of-the at him power and
οἱόν τινα νέφη στρατοῦ ὑπερστῆσαι καὶ αὐτῆς τῆς
as-it-were some clouds of-army to-set-over also itself the
μεγαλοπόλεως, δι᾽ ὧν ἐπιβρέξας ὄλεθρον κατακλύσει
great-city through which having-rained-on destruction he-will-flood
τοὺς ἀμφὶ τὸν Ἀνδρόνικον, φυσῶντος ἐνταῦθα μεγάλα
the(-ones) about — Andronikos puffing here great(-things)
καὶ τὰ τοιαῦτα νέφη συνελαύνοντος καὶ τοῦ Κομνηνοῦ
and the such clouds driving-together also — Komnenos
Ἀλεξίου. ἔλεγε γάρ, ἀλλὰ καὶ ἐδόξαζε, πρὸς αὐτοῦ
Alexios he-said for but also supposed on his(-side)
εἶναι τὴν πᾶσαν Ῥωμαΐδα καὶ φιλεῖν αὐτὸν, εἰς τὸ
to-be the all Romania and to-love him to the
γνήσιον, καὶ μὴ ἂν ἀφέξεσθαί τινας αὐτοῦ, ἀλλ᾽
genuine and not — to-hold-off some(-ones) from-him but
ἅμα ἢ κατιδεῖν ἢ μηνύματι ἐρεθισθῆναι, καὶ αὐτίκα
at-once either to-see or by-message to-be-roused and at-once
ἐπιδιδόναι κατακύπτοντας ἑαυτοὺς εἰς ὑποταγήν.
to-give(-themselves) bowing themselves into submission

ἐνεκρύπτετο δὲ τοῖς λόγοις τούτοις καὶ νοῦς, ὡς οὕτως
was-hidden and in-the words these also mind that thus
ἔχων καὶ οὕτω φιλούμενος καὶ εἰς τὰ ἑκάστων
being and thus being-loved and into the(-things) of-each
παραδυόμενος σπλάγχνα βασιλεύσει αὐτός, ῥίψας
slipping vitals he-will-reign himself having-thrown
τὸν Ἀνδρόνικον, παραγόμενος κἀνταῦθα τῆς ὀρθῆς.
— Andronikos being-led-astray here-too from-the right(-way)
ὁ γὰρ Σικελὸς ῥὴξ ἄλλα ἤθελε, καὶ Σικελίαν
the for Sicilian king other(-things) wished and Sicily
μὲν καὶ τὸ κατ᾽ αὐτὴν ῥηγάτον ἑτέροις, ὥς φασιν,
indeed and the by it kingdom to-others as they-say
ἀποκαταστῆσαι, αὐτὸς δὲ μετεμβῆναι εἰς τὴν μεγαλόπολιν
to-restore himself and to-move-over to the great-city
μεμελέτηκε.
had-practiced
Συνέπεσε δέ τι ἐν τούτοις καὶ τοιοῦτον. εἴδομεν ἡμεῖς 419
happened and something in these and such we-saw we
μετὰ τὴν ἐν ἡμῖν μεγίστην δυσπραγίαν ἄνδρα τινὰ
after the among us greatest misfortune man some
εὐσταλῆ, μελαγχρῆ πρὸς βάθος, ἐσταλμένον εὖ μάλα
well-dressed dark for depth clothed well very
τὰ πάντα κατὰ Λατίνους, πλὴν ὅσον βαθυγένειον,
the(-things) all according-to Latins except as-much-as deep-bearded
ἐσχηματισμένον μὲν ὡσεὶ καὶ ἀποστολικῶς, λεγόμενον
fashioned indeed as-if also apostolically being-called
δὲ ὑπερπόνηρον εἶναι. ἡ δὲ φήμη καὶ ἱππότην δεξιὸν
and over-wicked to-be the and report also horseman skillful
αὐτὸν εἶχεν, ὡς καὶ ὁ εὐγενὴς ἵππος, ὑπομαρτυρεῖν ἐῴκει,
him had as also the noble horse to-bear-witness seemed
ὃς αὐτὸν ἔφερε, καὶ οἱ ἐκείνου ἐξελιγμοί, ὅτε ἤρετο
which him carried and the of-it wheelings when he-was-raised

ἔφιππος. ὑπισχνεῖτο δὲ τὸ κατὰ ζώνην αὐτῷ ξίφος καὶ
mounted promised and the at belt to-him sword also
ὁπλίτην αὐτὸν εἶναι. οὕτω τὸν μοναχὸν ἐψεύδετο, εἰς
man-at-arms him to-be thus the monk he-belied into
ὃν ἐπιπολῆς ἐχρωμάτιστο. Ἀλεξίου δὲ κλῆσιν φέρων
which on-the-surface he-had-been-colored of-Alexios and name bearing
Σικουντηνὸν ἑαυτὸν ἐπεκάλει Φιλαδελφηνόν, ἄλλα τινὰ
Sikountenos himself called Philadelphenos other(-names) some
πρὸς ἑτέρων καὶ γνωριζόμενος καὶ λεγόμενος. οὗτος ὁ
by others also known and called this the
ἄνθρωπος, ὅστις ποτὲ καὶ ἔστι, πλέον τῶν ἄλλων
man whoever ever also is more than-the others
κατά γε πονηρὰν μέθοδον τὸ πῦρ τοῦ καταιθαλώσαντος
at least wicked method the fire of-the having-burned-up
ἡμᾶς πολέμου ἐξηνέμωσεν εἰς αἰθέριον. ἦν μὲν γὰρ ὁ
us war fanned into upper-air was indeed for the
δακρύων ἄξιος βασιλεὺς Ἀλέξιος κείμενος ὡς ὁ Ἀνδρόνικος
of-tears worthy emperor Alexios lying as — Andronikos
ἔθετο, αὐτὸς δὲ ὁ μοναχὸς οὐκ οἶδα σαφῶς ὅθεν
laid(-him) himself and the monk not I-know clearly whence
πλεύσας εἰς τὰ ὑπὲρ τὸν Ἀδρίαν ἔθνη ἐπεδείκνυέ τινα
having-sailed to the beyond the Adriatic nations showed some
παῖδα, ἐς ὅμοιόν τι καὶ χρόας καὶ ἡλικίας ἥκειν
boy to like something both of-color and of-age to-come
φαινόμενον τῷ βασιλεῖ Ἀλεξίῳ. καὶ ἦν μέν, φασίν, ἐκεῖνο
appearing to-the emperor Alexios and was indeed they-say that
παιδίον ἀγροικικὸν ἔκ ποθεν Βαγεντίας· αὐτὸς δὲ ταῖς
child rustic from somewhere of-Vagentia he and by-the
ἡμῶν ἁμαρτίαις τὸ τοιοῦτον σόφισμα διδαχθεὶς καὶ
our sins the such sophism having-been-taught and
παρίστατο δουλικώτερον τῷ ἀγεννεῖ ἐκείνῳ παιδίῳ, καὶ
stood-by more-slavishly the ignoble that child and

τοὺς πόδας ἔνιπτε, καὶ ὅσα ἄλλα πρὸς ὑπηρεσίαν
the feet washed and as-many-as other(-things) for service
ἐτέλει ὡς ἐπὶ βασιλεῖ, ῥαδιουργῶν κατὰ πονηρίαν,
performed as for emperor playing-the-rogue in wickedness
καὶ ἀναδιδάξας ἐκεῖνον βασιλέα ἑαυτὸν ἐπιλέγειν, καὶ
and having-taught that(-one) emperor himself to-call and
θαρρύνας καὶ ἐγκελεύεσθαι τούτῳ ὅσα καὶ
having-emboldened(-him) also to-command him as-many-as also
δούλῳ καὶ ἀπειλεῖσθαι δριμύτερον. καὶ βασιλικὴν αὐτῷ
slave and to-threaten more-sharply and imperial for-him
σκηνὴν οὕτω πηξάμενος περιέφερεν ἐξ ἔθνους εἰς ἔθνος,
tent thus having-pitched carried-around from nation to nation
καὶ μάλιστα εἰς ὅσα κακῶς διέθετο ὁ Ἀνδρόνικος.
and most to as-many-as badly treated — Andronikos
καὶ συνέκλαιε τραγικώτερον, καὶ σκηνοβατῶν ἀδικίαν
and wept-with more-tragically and treading-the-stage injustice
μεγάλην ὡς ἐπὶ βασιλικῷ τούτῳ παιδὶ ὀφειλομένῳ
great as for royal this child owed
πιστὴν φιλίαν ὑπὸ Χριστιανῶν ἀγαθῶν προεκαλεῖτο εἰς
faithful friendship by Christians good be-called-out to
ἄμυναν, ὑποδεικνὺς κατὰ τὸ εἰκὸς καὶ σημεῖα τριχῶν
defense showing according-to the likely also signs of-hair
ξανθότητα, ὀδόντος λεῖψιν, ὁποίαν τινὰ καὶ ὁ ἀληθὴς
yellowness of-tooth loss such-as some also the true
Ἀλέξιος ἐκεῖνος δυσπραγεῖν εἴληχε, βλέμματος ἐμβρίθειαν
Alexios that to-be-unlucky got of-look gravity
ὡσεὶ καὶ βασιλικοῦ, πλάσιν σώματος εὐπαγῆ, καθ' ἣν
as-if also of-royal molding of-body well-knit in which
μάλιστα τὸ ἀγροτικὸν εὐδοκίμως ἔχει, καὶ ἄλλα
most the rustic(-kind) reputably holds and other(-things)
τινά.
some

καὶ οἱ δυσωπούμενοι διετίθεντο πρὸς πένθος καὶ
and the(-ones) put-to-shame were-disposed to grief and
ἠλέουν, οἷα μὴ ἐξακριβοῦν ἔχοντες οἷς ἐπεπρόσθει
pitied as not to-make-exact being-able for-whom stood-in-front-of
τῇ διακρίσει τῶν σημείων τοῖς ἔθνεσιν ἡ κατὰ τοῦ
the discernment of-the signs for-the nations the against —
Ἀνδρονίκου μῆνις. ὅθεν καὶ ἀπανούργως πειθόμενοι τὸν
Andronikos wrath whence also guilelessly being-persuaded the
παῖδα βλέπειν Ἀλέξιον, ὃ καὶ ᾧ ἐξ ἀγροιωτῶν
child to-see Alexios which also by-which from rustics
οὗτος παῖς ἐτέθη καλεῖσθαι, κατέκυπτον εἰς προσκύνησιν,
this child was-set to-be-called bowed to obeisance
ἠσπάζοντο, μετέωρον ἦγον, δώροις ἐδεξιοῦντο πολλοῖς·
greeted aloft led(-him) with-gifts welcomed many
ἃ δὴ κατέσπα ὁ μοναχός, ἀπεκβαίνων βαρύπλουτος
which indeed drew-down the monk turning-out heavy-rich
οἷς ἐμπορικῶς τὸν παῖδα καπηλεύων ἐχρηματίζετο. καὶ
by-which merchant-like the child peddling be-made-money and
ἡ μὲν ἀλήθεια οὕτω λαθοῦσα ἐνδόμυχος ἦν, τὸ δὲ
the indeed truth thus escaping-notice hidden was the and
ψεῦδος ἐκνικῆσαν ἐξεθύμωσε τὰ ἔθνη πρὸς ἄμυναν· οἱ
lie having-prevailed enraged the nations to defense the(-ones)
φθάσαντες ἐνέδησαν αὐτοὺς ὅρκοις εἰς πίστιν τῷ τε
having-anticipated bound them with-oaths to fidelity — both
Μανουὴλ καὶ τῷ διαδεξαμένῳ αὐτὸν υἱῷ Ἀλεξίῳ. ἤχθη
to-Manuel and to-the having-succeeded him son Alexios was-brought
δὲ καὶ πρὸς τὸν ῥῆγα Σικελίας ὁ τοιοῦτος πλαστὸς
and also to the king of-Sicily the such counterfeit
βασιλεύς. καὶ ὁ μὲν Κομνηνὸς Ἀλέξιος, ὁ τὸν
emperor and — indeed Komnenos Alexios the(-one) the
Σικελὸν ἐρεθίσας, ἤλεγχε τὸν ἀγροιώτην τοῦτον παῖδα,
Sicilian having-provoked exposed the rustic this child

ναὶ δὲ καὶ οἱ σὺν αὐτῷ· οἱ δὲ ἐκ τῶν ἐθνῶν
yes and also the(-ones) with him the(-ones) and from the nations
ἐβεβαιοῦντο εὖ ὅτι μάλα καὶ ἀπηκριβωμένως ἐπίστασθαι
affirmed well that very also exactly to-know
αὐτὸν ἐκεῖνον εἶναι τὸν παῖδα τοῦ Μανουήλ, ὑπὲρ οὗ
him that(-one) to-be the child — of-Manuel for whom
καὶ ἀποθανεῖσθαι αὐτούς. τέλος δὲ ὁ μὲν Σικελός, εἰ καὶ
also to-die them end and the indeed Sicilian if even
ἐπέγνω, φασί, τὸ ἀληθές, ὅμως πεισμονὴν ἰδίαν ἔχων
he-recognized they-say the truth nevertheless obstinacy own having
καὶ τοῦ θρόνου Κωνσταντινουπόλεως ἐφιέμενος, οἱ δὲ
and of-the throne of-Constantinople aiming the(-ones) and
ἐθνικοὶ Ἀλεξίου βασιλέως εἴδωλον πρὸ τῆς φαντασίας
of-the-nations of-Alexios emperor phantom before the imagination
φέροντες (τὸν γὰρ δηλωθέντα παῖδα ἡ Σικελία ἔχει
bearing the for indicated child — Sicily holds
ἀπελεγχθέντα θρέμμα εἶναι ἀγροῦ) καὶ ἐγκαταστῆσαι τὴν
having-been-exposed nursling to-be of-field and to-install the
φαντασίαν εἰς βασιλέα τοῖς μεγαλοπολίταις φρυαττόμενοι,
phantom as emperor for-the great-citizens snorting
κινοῦνται καθ' ἡμῶν θάρσει πολλῷ, καὶ ταῦτα κωλύμης
move against us with-boldness much and these(-things) of-hindrance
οὔτι μάλα μὴ σταθερᾶς, ὡς ἐξῆν, ἀναφαινομένης
not-at-all very not steady as was-possible appearing
ἐκ τῶν κρειττόνων συμβούλων, τοῦ τε ἱεράρχου φασὶ
from the better counselors of-the both hierarch they-say
τοῦ κατὰ Σικελίαν Πανόρμου καὶ τοῦ τῆς ἐκεῖσε
of-the at Sicily of-Palermo and of-the(-one) — there
Μεσσήνης, καὶ ἑτέρων, ὅσοι τὸ δέον συνεώρων,
of-Messina and others as-many-as the needful saw-together
ἀγχινοίας τε στάθμῃ ἀπορθοῦντες ἑαυτοὺς εἰς προόρασιν
of-shrewdness both by-the-rule setting-straight themselves into foresight

τοῦ μὴ ἂν ἐξεῖναι τὸν Σικελὸν κόμητα εἰς κοσμικὸν
of-the not — to-be-allowed the Sicilian count into world's
ἐγγραφήσεσθαι βασιλέα, ὅς ποτε τῇ Κωνσταντινουπόλει
to-be-enrolled emperor who once — to-Constantinople
δοὺξ ὑπέκειτο, καὶ τὸ μηδὲ εὖ ἔχειν λόγου τὴν τῆς μάχης
duke was-subject and the not-even well to-have of-reason the of-the battle
πρόφασιν. τί γάρ, εἴπερ ὁ τὴν Κωνσταντινούπολιν
pretext why for if the(-one) — Constantinople
διέπων ἐξαμαρτάνοι φονεύων ἢ τυραννῶν, δίκας ἂν
governing should-sin murdering or playing-the-tyrant penalties —
διδοίη τῷ παρεγγράπτῳ ῥηγὶ τῷ ἐν Σικελοῖς;
would-be-pay to-the enrolled-besides king the(-one) among Sicilians
εἰ μὴ ἄρα πᾶσα βασιλεία, παίουσά τι κατὰ βίον,
if not then every empire stumbling somewhat in life
εὐθύνεσθαι κινδυνευτέα πρὸς τοῦ ὠρεγμένου, ὡς εἰ
to-be-called-to-account must-run-the-risk by the(-one) having-reached-out as if
καὶ ἐπαιδαγωγεῖτο ἢ ἐδεσπόζετο.
also it-were-being-tutored or was-being-mastered

VII · THE SICILIAN INVASION

The fugitive Alexios Komnenos promises Constantinople to the king of Sicily, whose army of many nations crosses the Adriatic, takes Dyrrachion, and in August encamps before Thessalonica by land and sea. David Komnenos assures Andronikos that all is secure, and Eustathios judges him little better than a traitor.

422 Καὶ ὅμως τοῦ Κομνηνοῦ Ἀλεξίου ἀπισχυρισαμένου τὴν
and nevertheless — Komnenos Alexios having-affirmed —
Κωνσταντινούπολιν παραδοῦναι ῥᾷον τῷ ῥηγὶ Σικελίας,
Constantinople to-hand-over more-easily to-the king of-Sicily
ὡς εἰ καὶ ἐν χεροῖν αὐτὴν ἔσφιγγεν ὁ ἀπάλαμνος, γίνεται
as if even in two-hands it he-squeezed the helpless(-one) happens

κίνησις πολυεθνὴς ἐπιλεγομένη τῷ Σικελῷ καὶ αὐτὸν
movement of-many-nations being-chosen for-the Sicilian and him
προγράφουσα κεφαλαιωτήν, καὶ ἐκκενοῦνται θησαυροὶ
proclaiming head and are-emptied treasures
τῷ μηδὲ μεγάλας οὕτω τι τὰς προσόδους
for-the(-one) not-even great thus somewhat the revenues
ἔχοντι. καὶ τῇ μὲν θαλάσσῃ ἐπίστευσε νῆας μακρὰς
having and to-the indeed sea he-entrusted ships long
ἑτεροίας τε καὶ ἱππαγωγοὺς ὑπὲρ τὰς διακοσίας, τῆς
different both and horse-transports over the two-hundred on-the
δὲ γῆς κατεκρόαινεν ἱππικὸν ἐπίλεκτον, οὐ μόνον ἐξ
and land he-struck cavalry picked not only from
ὧν συνεκροτεῖτο αὐτός, ἀλλὰ καὶ ἄλλο παντοδαπὸν
which was-composed himself but also other of-all-kinds
συμμαχικόν. καὶ λέγεται ὡς ἑκατόν ποθεν λόγου χάριν
allied and it-is-said that hundred from-somewhere of-speech for-the-sake
ἐπιρρεόντων εἰς συμμαχίαν, καὶ αὖ ἑτέρωθεν πλειόνων ἢ
flowing-in to alliance and again from-another-side more or
καὶ τοσούτων ἢ καὶ εἰς ἔλαττον ὑποβιβαζομένων, βραχεῖς
also so-many or also to less being-reduced few
τινὰς ἐκεῖθεν ἀποκρίνων τοὺς λοιποὺς ἐξηθέριζε. καὶ ἦσαν
some from-there choosing-out the others he-winnowed and were
οὕτως αὐτῷ οἱ ἱππόται οἷοι ἀλαζονεύεσθαι κατὰ τὴν
thus for-him the knights such-as to-boast according-to the
ἐν αὐτοῖς φύσιν τριηκοσίων ἀνδρῶν ἕκαστος ἄντα κατὰ
among them nature of-three-hundred men each against in
πόλεμον στήσεσθαι, οὐδὲν ἀπεοικότες οὐδ' αὐτοὶ τοῦ
war to-stand nothing unlike not-even they —
Κομνηνοῦ, ὃς μόνος ἐδόξαζε τὴν τοσαύτην βασιλείαν ταχὺ
Komnenos who alone imagined the so-great empire quickly
καταλήψεσθαι, βραχὺ κατ' αὐτῆς παρακαλπάσας τὸν ἵππον,
to-seize a-little against it having-trotted the horse

καὶ κατακτήσεσθαι αὐτὴν χειρισάμενος ὡσεὶ καὶ στρουθοῦ
and to-win it having-handled as-if also sparrow's
φωλεόν, λόγῳ μὲν τῷ Σικελῷ, ὃν καὶ γνησίως αὐθέντην
nest in-word indeed for-the Sicilian whom also genuinely lord
ἐπεγράφετο, ψυχῇ δὲ ἑαυτῷ. ἰνδάλλετο γὰρ (οὐκ οἴδαμεν
he-inscribed in-soul and for-himself was-imagining for not we-know
ὅπως), καθὰ καὶ προεξεθέμεθα, ἅμα τε ἐκφαίνεσθαί
how as also we-set-forth-before at-once both to-appear
που, καὶ πάντας εὐθὺς τοὺς Ῥωμαίων ὀφθαλμοὺς εἰς
somewhere and all at-once the of-Romans eyes to
αὐτὸν ὡς ἥλιον ἐπιστρέφεσθαι καὶ αὐτοῦ μόνου γίνεσθαι.
him as to-(the)-sun to-be-turned and of-him alone to-become
423 Ἐξεῖρψεν οὖν ἡ Λατίνη γῆ πλῆθος οὕτω πολὺ στρατιᾶς,
crept-out then the Latin land multitude so much of-army
ἀφ' ἱκανοῦ ἡμᾶς ἐκφοβοῦν. καὶ γίνονται πάντες τῆς
from sufficient(-degree) us frightening and become all of-the
Ἰλλυριῶν ἠπειρώτιδος, ἣ τερματίζει τὰ Ῥωμαίων
of-Illyrians mainland which ends the(-things) of-Romans
εἰς τὸν Ἀδρίαν κόλπον· καὶ περισχόντες τὴν τῶν ἐκεῖσε
at the Adriatic gulf and having-surrounded the of-the there
μητρόπολιν, τὸ Δυρράχιον, ἀπονητὶ ἀποχειροῦνται καὶ
metropolis — Dyrrachion without-toil they-subdue and
ὡς εἰπεῖν αὐτοβοεί, κατὰ μὲν τὸν Ἀνδρόνικον φάναι
so-to to-speak at-the-first-shout according-to indeed — Andronikos to-say
προδεδομένην ὑπ' ἄλλων εἰς τὸ πᾶν (οὕτω γὰρ ἐκεῖνος
betrayed by others on the whole thus for that(-one)
ἐθεράπευε τὰ κατ' αὐτόν, οὐχ ἑαυτῷ ἀλλ' ἑτέροις
tended the(-things) concerning him not to-himself but to-others
ἐπιγράφων ἃ ἐδυστύχει δι' αὐτὸν ἡ Ῥωμαΐς γῆ),
ascribing what was-unfortunate because-of him the Roman land
πρὸς δὲ ἀλήθειαν ὑπ' αὐτοῦ ἐκείνου πρόδοτον. καὶ γάρ
to and truth by himself that(-one) betrayed and for

τοι πρὸ βραχέων χρόνου Ῥωμανόν τινα στείλας, ὃν
indeed before short time Romanos some having-sent whom
ὁ καλὸς Ἴστρος φαύλην ἀπόρροιαν ἐναπερευξάμενος εἰς
the fair Ister base outflow having-belched-out into
Κωνσταντινούπολιν γαμβρὸν ἐκείνῳ ἐφυλάξατο ἐν τοῖς
Constantinople son-in-law for-that(-one) kept in the
τότε καιροῖς, τοὺς ἐν τῷ Δυρραχίῳ ἀνθοῦντας ἐμάρανε
then times the(-ones) in — Dyrrachion flourishing withered
πλούτου ἔρωτι, ὁποῖος ἐκεῖνος, πλουτῶν ἄντικρυς τὰ
of-wealth by-love such-as that(-one) being-rich outright the
τοιαῦτα, μὴ κορεννύμενος. κἀντεῦθεν ἡ πόλις κακυνθεῖσα
such(-things) not being-sated and-thence the city having-been-weakened
καὶ μὴ πάνυ γενναίως ἀντισχοῦσα ἑάλω, καὶ μαλακῶς
and not very nobly having-held-out was-taken and softly
ἔπαθεν ἐμπρησμοῖς τε καὶ λοιποῖς κακοῖς, ὁπόσα φιλεῖ
suffered with-burnings both and remaining evils as-many-as is-wont
ἀνδρίζεσθαι πόλεμος οὐ στησόμενος ἀλλὰ προβησόμενος
to-play-the-man war not going-to-stand but going-to-advance
καὶ ἐκστήσων φόβῳ τοὺς ἐφεξῆς. οὕτω δὲ ἑαλωκυῖα
and going-to-drive-out by-fear the(-ones) next thus and having-been-taken
ἡ τοιαύτη πόλις ἐθρόησε μὲν εἰς πολὺ καὶ ἡμᾶς καὶ
the such city alarmed indeed to much both us and
ὅσοι δὲ ἄλλοι τὸ εὐεπιχείρητον τοῦ ἐκεῖ δυσπραγήματος
as-many-as too others the easiness-of-attack of-the there misfortune
ἔμαθον· οὓς ἐλύπει καὶ ἡ τοῦ ἀγαθοῦ στρατηγοῦ Ἰωάννου
learned whom grieved also the of-the good general John
τοῦ Βρανᾶ κατάσχεσις, ὃς οὐ πολὺν περικείμενος στρατόν,
the Branas capture who not much having-around army
καὶ ὅμως εἰς φυλακὴν τοῦ φρουρίου παραβυσθεὶς φόβῳ
and nevertheless for guard of-the fortress having-been-thrust-in by-fear
τοῦ βασιλέως Ἀνδρονίκου, μὴ καὶ προδότης ἐπικληθεὶς
of-the emperor Andronikos lest also traitor having-been-called

καὶ εἰς χεῖρας ἐκείνῳ πεσὼν ἀπαχθείη τοῦ ζῆν,
and into hands to-that(-one) having-fallen he-be-led-away from-the living
παρήχθη τῇ τῆς πόλεως ἁλώσει εἰς Σικελίαν αἰχμάλωτος.
was-led-away in-the of-the city capture to Sicily captive
424 Καὶ ἐξεφόβει μὲν οὕτω τοὺς πέριξ μέχρι καὶ ἐς
and frightened indeed thus the(-ones) around as-far-as even to
Θεσσαλονίκην τὸ οὕτω ταχὺ τῆς ἁλώσεως ἐκείνης, καὶ
Thessalonica the thus quick of-the capture that and
ὅτι, καθά τις ἂν εἴποι τὸ τάχος τοῦ κακοῦ ἐνδεικνύμενος,
that as one — might-say the speed of-the evil showing
θατέρῳ μὲν τοῖν ποδοῖν ἕκαστος τῶν πολεμίων
with-the-one indeed of-the-two feet each of-the enemies
ἐπέβη τῆς Ἰλλυριῶν γῆς, θατέρῳ δὲ κατενεπήδησε τῆς
stepped-on of-the of-Illyrians land with-the-other and leapt-on of-the
ἐχυρωτάτης ἐκείνης πόλεως. ὅτι δὲ καὶ τὰ ἐκεῖθεν
most-secure that city that and also the(-things) thence
ἕως καὶ ἐς τὴν καθ' ἡμᾶς Μακεδονικὴν οὐδὲν αὐτοῖς ὁδοῦ
as-far-as even to the among us Macedonian nothing to-them of-road
προσέστη σκῶλον εἰς ἐμπόδιον, ἀλλὰ τοῦτο τὰς ἁπάντων
stood-in-the-way stake for hindrance but this the of-all
ψυχὰς ἑτοίμους ἔστησε τῶν κατ' αὐτὰς ἀπαλλάττεσθαι
souls ready set of-the in them to-be-released
σωμάτων, οἷς ἐταράχθησαν. οὐκ ἔστι γὰρ ὅπου συνήντετό
bodies by-which they-were-troubled not it-is for where met
τι δεῖμα ἐκείνοις, οὐ μέγα, οὐ μικρόν, οὐ μέσον· ἀλλ'
any fear those not great not small not middle but
ὡς διὰ λείων πεδίων ποταμὸς πλήθων, ἐκεῖνος ὁ πεζὸς
as through smooth plains river swelling that the foot
κατέρρεε στρατός, ἕως ἡμῖν συνέμιξεν ἄσκυλτος. ὁ δέ
flowed-down army until with-us it-engaged untroubled the and
γε ναυτικὸς τὴν οἰκείαν τραπόμενος ἔπλεε συνελευσόμενος
at-least naval(-force) the own(-way) having-turned sailed going-to-join

ἐν καιρῷ μερίταις καὶ κορυφώσων ἡμῖν εἰς μέγα τὸ
in time with-(the)-partners and going-to-crown for-us to great the
κακόν. καὶ ὑστέρησε τοῦ πεζοῦ ἡμέρας τινάς, εἰς ἔνδειξιν
evil and fell-behind the foot(-army) days some for display
οἶμαί τινα τῆς τε καθ᾽ ἡμᾶς οὐθενείας τῆς τε κατ᾽ αὐτοὺς
I-think some of-the both among us nothingness of-the both among them
ἰσχύος, ταύτης μὲν ὡς, εἴπερ ὁμοῦ ἐπῆλθον ἡμῖν,
strength of-this indeed as if together they-had-come-on us
οὐκ ἂν οὐδὲ γοῦν μίαν ἡμέραν ἀντέσχομεν, ἐκείνης
not — not-even at-any-rate one day we-would-have-held-out of-that
δέ, ὅτι καὶ μόνον τὸ πεζὸν τοῦ στρατοῦ περικαθήμενον
and that even only the foot(-force) of-the army besieging(-us)
ἔχοντες οὕτως ἀρετῶντες ἦμεν τῷ φαύλῳ στρατηγῷ ὡς
having thus excelling we-were to-the base general so-that
μηδεμίαν ἐκδρομήν τινα κατ᾽ αὐτὸν γενέσθαι στρατιωτικήν,
no sally any against it to-happen military
ἀλλὰ φυλάττεσθαι τῷ ῥηγὶ τοὺς ἐκείνου εἰς ἀδνούμιον
but to-be-kept for-the king the(-men) of-that(-one) for review
ἀπρονόμευτον καὶ οἷον μὴ παθεῖν κολόβωσιν.
unplundered and as-it-were not to-suffer docking
Καὶ ὁ μὲν πεζὸς λαὸς περιεκάθισε καθ᾽ ὥραν ἀρίστου τὴν 425
and the indeed foot people sat-around at (the)-hour of-breakfast the
καθ᾽ ἡμᾶς πόλιν, Αὐγούστου μηνὸς ἄγοντος ἕκτην ἡμέραν,
among us city August month bringing sixth day
καθ᾽ ἣν ἡ ἔνδοξος κοίμησις τῆς πανάγνου θεομήτορος
on which the glorious falling-asleep of-the all-pure mother-of-God
μνημονεύεται. καὶ τότε δὴ οὐκέτι φευκτὰ ἦν ἡμῖν,
is-commemorated and then indeed no-longer to-be-fled(-things) were for-us
ἀλλ᾽ οἱ ἀγχινούστεροι προεωρῶντο οἷα πείσονται, ὅπου
but the sharper(-ones) foresaw what they-will-suffer where
γε οὔκουν ὀλίγοι καὶ πρὸ τούτων συνεώρων τὸ μέλλον,
indeed not few also before these saw-together the future

πολλαχόθεν αὐτὸ τεκμαιρόμενοι. ἡμεῖς γοῦν φθάσαντες
from-many-sides it conjecturing we at-any-rate having-anticipated
τὴν τῶν πολεμίων ἔφοδον, τοὺς ὅσοι μεθ' ἡμῶν τῆς
the of-the enemies attack the(-ones) as-many-as with us —
Κωνσταντινουπόλεως ἦσαν τέκνα ἐξεστείλαμεν εἰς τοὺς
of-Constantinople were children sent-off to the(-homes)
ἑαυτῶν, οὐ μόνον ὁδοπόριον ἐνδαψιλευσάμενοι ἀλλά τι
their-own not only journey-money having-lavished but something
καὶ τῶν ἐς χάριν βαθυτέρας γνώμης, ὡς αὐτοὶ θανάτῳ
also of-the(-things) for favor of-deeper mind as ourselves by-death
ἀπολούμενοι. καὶ τῶν ἐν Θεσσαλονίκῃ δέ τινας, οἷς
going-to-perish and of-the(-ones) in Thessalonica and some to-whom
οὐδὲν ἦν ἔργου ἀλλ' ἢ μόνον φόβος, βουλὴν αἰτήσαντας
nothing was of-work but than only fear counsel having-asked
οὐκ ἐκρυψάμεθα ὃ δειλιᾶν ἡμῖν ἐπῆλθε, καὶ παρωρμήσαμεν
not we-bid what to-fear on-us came and we-urged(-them)
φυλάξασθαι, καὶ ἐφυλάχθησαν. καὶ ἦν μὲν τὸ πρᾶγμα
to-take-precaution and they-took-precaution and was indeed the thing
καὶ ἡμῖν ἐφετὸν οἷα ἐθελοψυχοῦσιν, ἐπεσχέθημεν δὲ δυοῖν
also for-us desirable as for-wishing-to-die(-men) we-were-held-back and two
ἕνεκεν, ὡς δοκεῖν· οὔτε γὰρ ὁ στρατηγὸς προεθυμήθη
for-the-sake-of as to-seem neither for the general was-eager
σωθῆναι ἡμᾶς δι' αἰτίαν ἣν ὡς θυμοσόφῳ ἐκείνῳ
to-be-saved us for cause which as to-wise-in-his-own-conceit that(-one)
εἰδέναι μόνῳ κεχάρισται· ὁ λαὸς δὲ τοῦ θεοῦ ὁ
to-know alone has-been-granted the people and — of-God the(-one)
ἐνταῦθα μὴ ἂν ὑπολιπέσθαι εἰπών, εἰ καὶ ἡμεῖς ἐκδράμωμεν
here not — to-be-left-behind having-said if even we should-run-out
φυγαδίᾳ, ἔκλεισεν ἡμῖν οὕτω τὰς πύλας τοῦ σωθῆναι
in-flight shut for-us thus the gates of-the to-be-saved
βούλεσθαι. καὶ τοῦτο μὲν τὸ φαινόμενον· ἃ δὲ ὁ
to-wish and this indeed the apparent(-reason) what and —

θεὸς ἐνταῦθα ἤθελεν, ἕτερα ἦν, ἓν μὲν τὸ παιδεύσειν
God here wished other(-things) were one indeed the to-chastise
ἡμᾶς ἀνθ᾽ ὧν αὐτῷ προσεκρούομεν, δεύτερον δὲ τὸ
us for what against-him we-offended second and the
φιλανθρωπεύσασθαι εἰς τὰς τοῦ Ἀνδρονίκου χεῖρας βαλεῖν
to-show-kindness into the — of-Andronikos hands to-throw
ἡμᾶς. ἐφάνη γὰρ ὡς, εἴγε τῆς πόλεως ταύτης εἰς
us it-appeared for that if-indeed from-the city this to
ὅσον βραχύ τι προεποδίσαμεν, οὐκ ἂν ἐζήσαμεν,
as-much-as little something we-had-stepped not — we-would-have-lived
ἀλλ᾽ ὁ τῆς ὀργῆς αὐτοῦ τρυγίας ἐναπηρεύχθη ἂν εἰς
but the of-the wrath of-him dregs would-have-been-belched-out — on
ἡμᾶς. εἰ δέ τι καὶ τρίτον ἦν θεοῦ ἐνταῦθα σκέμμα,
us if and anything also third was of-God here plan
τὸ ἡμᾶς παραμείναντας πρὸς ἀγαθοῦ τινὸς ἀποβῆναι τοῖς
the us having-stayed-on for good some to-turn-out for-the
περισεσωσμένοις ἀδελφοῖς, ἐδιδάχθησαν οἱ πεπειραμένοι
having-been-saved brothers were-taught the(-ones) having-experienced
σὺν θεῷ. καὶ ἦν ἡμῖν τουτὶ τὸ παράμονον οὐ κατ᾽ ἐκεῖνο
with God and was for-us this the staying not according-to that
τὸ παλαιότερον, ὅτε νῆες μὲν ἀποστατικαὶ Λατινικαί
the older(-occasion) when ships indeed rebel Latin
τινες ἐφ᾽ ἡμᾶς ἐκ Βυζαντίου ἀρχέκακοι ἐπλωΐσαντο,
some against us from Byzantium evil-starting sailed
κατὰ τοῦ Ἀνδρονίκου καὶ αὐταὶ συμπεπνευκυῖαι, ἡμεῖς δὲ
against — Andronikos and they having-conspired we and
παρεμένομεν. ἀλλ᾽ ἐκεῖνο μὲν καὶ πρόβαν ἐνέφαινε τῶν
stayed but that indeed also foretaste showed of-the(-things)
ἄρτι, δοκιμάζουσαν οἷα οἱ Λατῖνοι ἐπαγωνίσονται ἡμῶν
now testing such-as the Latins will-contend us

καθιππάσασθαι, καὶ φόβον εἶχεν οὐ πολύν· τὰ δὲ νῦν
to-ride-down and fear had not much the(-things) and now
οἴμοι ὡς ἡμῖν ἀπέβαινεν ὑπερλίαν καὶ ἐναγώνια καὶ φοβερά.
alas as for-us turned-out very-exceedingly both agonizing and fearful
427 Ἀλλὰ ταῦτα μὲν ὡς ἐν παρεκδρομῇ τινὶ λόγου
but these(-things) indeed as in digression some of-speech
γεγράφαται, τὴν δὲ πόλιν συνεῖχεν ὡς οἷον ἐν ἀγκάλαις
have-been-written the and city held as as-it-were in arms
ὅ τε καθ' ἵππους ὅ τε κατὰ τὰς νῆας στρατός, καὶ ἡ τοῦ
the both on horses the both on the ships army and the of-the
στρατηγοῦ ἀβελτηρία ἐνταῦθα μάλιστα διεφαίνετο, μηδὲ
general stupidity here most showed-through not-even
τὰ πρώην ἄδηλος οὖσα, ὡς ἡ συγγραφὴ ἐν ὀλιγίστῳ
the(-things) earlier unclear being as the writing in very-little
διαδείξεται. τὰ πρῶτα μὲν γάρ, τῶν πολεμίων οὐ μακρὰν
will-show the first(-things) indeed for the enemies not far
ὄντων, βιασάμενοί τινες τῶν στρατιωτῶν ἀνδρίσασθαι (ὁ
being having-forced some of-the soldiers to-play-the-man the
γάρ τοι στρατηγὸς δεινὸς ἦν κοιμᾶσθαι) ἀφώρμησαν, καὶ
for indeed general terrible was to-sleep sallied and
συνέσχον ἕνα τινά· ὃν καὶ λαμπρῶς περιδύσαντες τὰ
seized one some(-one) whom also brilliantly having-clothed the
στρατιωτικά, οὐχ ἑκ τῶν ἐκείνου (ψιλὸς γὰρ ἦν) ἀλλ'
military(-things) not from the(-things) of-that(-one) bare for he-was but
ἐκ τῶν παρ' αὐτοῖς, ἐπόμπευόν τε διὰ μέσης τῆς
from the(-things) among them paraded both through middle of-the
πόλεως καὶ ὡς μέγαν τινὰ ἑλόντες ἐχύδαινον. καὶ γραφὴ
city and as great some(-one) having-taken boasted and letter
εὐθὺς τοῦ καὶ στρατηγοῦ καὶ δουκὸς εἰς τὸν βασιλέα, ὡς
at-once of-the both general and duke to the emperor that
εὐτυχῶς ἡμῖν τὰ εἰς μάχην φέρεται. ἡμέρα μετὰ ταύτην
fortunately for-us the(-things) for battle are-borne day after this

δευτέρα, καὶ μετεξέτεροι στέλλονται, καὶ αἱροῦσιν οὐκέτι
second and others are-sent and take no-longer
οὐδ' ἄνθρωπον, ἀλλὰ δύο ἱππάρια δυστυχῆ καὶ σκίασμα
not-even man but two little-horses unfortunate and shade-hat
στρατιώτου κεφαλῆς· ὁ γὰρ τοῦτο ἔχων διεκπέφευγε,
soldier's of-head the(-one) for this having escaped
προηκάμενος οἷον εἰς λύτρον αὐτὸ τοῖς ἐπιδιώκουσιν.
having-let-fall as-it-were for ransom it for-the(-ones) pursuing
καὶ αὐτίκα θρίαμβοι πάλιν ἐν τῇ πόλει, καὶ τὰ αἰχμάλωτα
and at-once triumphs again in the city and the captive
ἱππαρίδια περιεβλέποντο, οἷα μέγα ὂν ὅτι περ αὐτὰ εἷλον,
little-horses were-looked-about as great being that very them they-took
καὶ τὸ σκιάδιον ἐπὶ σημαίας ᾔρετο καθά τι κορυφαῖον
and the sun-hat on standard was-raised as some chief
σκύλευμα. καὶ γράμμα πάλιν τοῦ δυσαριστέως παρὰ τὸν
spoil and letter again of-the poor-champion to the
βασιλέα, ὡς εὐτυχοῦμεν τὰ κατὰ πόλεμον. ὡς δὲ
emperor that we-are-fortunate the(-things) in war as and
ἐκεῖθεν ἐρεθισθέντες οἱ κατὰ γῆν πολέμιοι, καθὰ καί τινες
thence provoked the on land enemies as also some
σφῆκες, ταχὺ καθ' ἡμῶν ἐπτερύξαντο (τὰ γὰρ πρὸ
wasps quickly against us took-wing the(-things) for before
τούτων ἀνεβάλλοντο, καραδοκοῦντες τὸ ναυτικὸν κατά
these they-had-put-off awaiting the naval(-force) by
τι σύνθημα) καὶ τὴν πόλιν ἐκ τῶν δυσμόθεν μεγάλων
some signal and the city from the western great
πυλῶν ἕως καὶ ἐς ὅλην τὴν ἀκρόπολιν ἀκηρυκτεὶ
gates as-far-as even to whole the acropolis without-herald
ἐπιδραμόντες ἐκυκλώσαντο, γίνεταί τις ἐκεῖ ἐκδρομὴ δύο
having-run-at encircled happens some there sally two
μὲν Λατίνων ἱππέων ἐκ τοῦ τῶν Πρεβεντζούνων ἔθνους,
indeed of-Latin horsemen from the of-the Preventzounoi nation

ὃ δὴ πολὺ καὶ τεθαρρημένον τῷ Σικελικῷ στρατῷ
which indeed numerous and bold the Sicilian army
παρείπετο, πλειόνων δὲ ἐκ τῶν ἡμεδαπῶν· ὑπὲρ τοὺς
followed more and from the(-ones) of-our-country over the
δέκα γάρ. καὶ πίπτει μὲν οὐδείς, ἐναγώνιοι δὲ οἱ Λατῖνοι
ten for and falls indeed no-one in-agony and the Latins
διεκφεύγουσι τὸ πεσεῖν. καὶ πάλιν ἀναφορὰ εἰς τὸν βασιλέα
escape the to-fall and again report to the emperor
τρίτη, ὡς τῇ βασιλικῇ εὐχῇ τε καὶ εὐτυχίᾳ νενικήκαμεν
third that by-the imperial prayer both and good-fortune we-have-conquered
καὶ τὸν τρίτον πόλεμον, οὐκ οἶδα τίνων περιγενόμενοι.
and the third war not I-know over-whom having-prevailed
καὶ ἤθελε μὲν ὁ στρατηγὸς τὰς τρεῖς ταύτας αὐτοῦ νίκας
and wished indeed the general the three these his victories
ἑνὶ ἐπιστολίῳ περιλαβεῖν, φειδοῖ δαπάνης καὶ δρομικῶν
in-one letter to-include by-thrift of-expense and of-running
ἵππων· ἐγκρατὴς γὰρ ἦν χειρῶν ἀληθῶς ὁ ἄνθρωπος.
horses master for was of-hands truly the man
ἀλλὰ προεκαλεῖτο τὸν καλλίνικον εἰς τὸ δαπανῆσαι
but called-forth the gloriously-victorious(-one) to the to-spend
τὸ ἐθέλειν κατὰ τοῦ βασιλέως γελᾶν, καὶ ἦγεν αὐτῷ
the to-wish against the emperor to-laugh and led for-him
πρὸς ἀνάγκης τὸ πρᾶγμα. ἐκεῖνός τε γὰρ ἐμίσει τοῦτον,
to necessity the matter that(-one) both for hated this(-one)
καθὰ καὶ τοὺς λοιποὺς ὅσοις τὸ γένος ἔλαμπε· καὶ αὐτὸς
as also the others to-whom the race shone and he
δὲ ἀντέστρεφε τὸ μῖσος πρὸς αὐτὸν οὐ μακρὰν τοῦ
